Ακαδημία Αθηνών / Academy of Athens

EX LIBRIS
G.J. ARVANITIDI
BYZANTINI

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens



Ακαδημία Αθηνών / Academy of Athens

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ

# ΘΕΟΔΩΡΗΤΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΟΥ

ΕΠΙΣΤΟΛΑΙ ΔΥΟΙΝ ΔΕΟΥΣΑΙΝ ΠΕΝΤΗΚΟΝΤΑ
ΕΚ ΠΑΤΜΙΑΚΟΥ ΧΕΙΡΟΓΡΑΦΟΥ ΤΕΥΧΟΥΣ ΝΥΝ
ΠΡΩΤΟΝ ΤΥΠΟΙΣ ΕΚΔΙΔΟΜΕΝΑΙ

ΥΠΟ

ΙΩΑΝΝΟΥ ΣΑΚΚΕΛΙΩΝΟΣ
ΕΠΙΜΕΛΗΤΟΥ ΤΩΝ ΧΕΙΡΟΓΡΑΦΩΝ ΤΗΣ ΕΘΝΙΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ

« Συναγάγετε τὰ περισσεύσαντα κλάσματα, ἵνα μή τι ἀπόληται ». [Ἰωάν. ς', 12.]

ΑΘΗΝΗΣΙΝ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΑΔΕΛΦΩΝ ΠΕΡΡΗ
͵ΑΩΠΕ'.

Ακαδημία Αθηνών / Academy of Athens

# ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ

# ΘΕΟΔΩΡΗΤΟΥ

## ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΟΥ

ΕΠΙΣΤΟΛΑΙ ΔΥΟΙΝ ΔΕΟΥΣΑΙΝ ΠΕΝΤΗΚΟΝΤΑ
ΕΚ ΠΑΤΜΙΑΚΟΥ ΧΕΙΡΟΓΡΑΦΟΥ ΤΕΥΧΟΥΣ ΝΥΝ
ΠΡΩΤΟΝ ΤΥΠΟΙΣ ΕΚΔΙΔΟΜΕΝΑΙ

ΥΠΟ

ΙΩΑΝΝΟΥ ΣΑΚΚΕΛΙΩΝΟΣ
ΕΠΙΜΕΛΗΤΟΥ ΤΩΝ ΧΕΙΡΟΓΡΑΦΩΝ ΤΗΣ ΕΘΝΙΚΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ

« Συναγάγετε τὰ περισσεύσαντα κλάσματα, ἵνα μή τι ἀπόληται ». ['Ιωάν. ϛ', 12.]

ΑΘΗΝΗΣΙΝ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΑΔΕΛΦΩΝ ΠΕΡΡΗ
ͅΑΩΠΕ'.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ
ΑΘΗΝΩΝ
EX LIBRIS
G. J ARVANITIDI
BYZANTINI
ΑΡΙΘ. ΕΙΣΑΓΩΓΗΣ
874

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

# ΠΡΟΛΟΓΟΣ

Τέταρτον τοῦτ᾿ ἤδη συνεπληρώθη ἔτος, ἐξ οὗπερ ἐποιησάμην λόγον ἐν τῷ περιοδικῷ *Ἀθηναίῳ* (1) περὶ τῆς γενομένης μοι ἐν Πάτμῳ ἀνευρέσεως χειρογράφου τεύχους ἐκ χάρτου ναστοῦ ὑποκίῤῥου τὴν χρόαν, σχήματος τετάρτου μεγάλου, κατὰ τὴν ΙΒ΄, ἢ μᾶλλον, ὡς ἐκ δευτέρων φροντίδων ἐμαυτὸν ἔπεισα, περὶ τὸ δεύτερον ἥμισυ τῆς ΙΑ΄ἑκατονταετηρίδος γεγραμμένου, πολλὴν δὲ τὴν λώβην παθόντος ὑπό τε τοῦ χρόνου καὶ τῶν σητῶν· τὸ γὰρ πλεῖστον αὐτοῦ τῶν βιβλιοβόρων τούτων ζωϋφίων ἔργον ἐγένετο, κοσκίνου δίκην διατρησάντων αὐτό, οὐκ ὀλίγα δ᾿ εἰσὶ καὶ τὰ παραλελυμένα, συμπεφυρμένα τε καὶ ἐξεῤῥυηκότα φύλλα. Ἀπήρτιζε δὲ τὸ τεῦχος, ὡς ἐν τῷ μνημονευθέντι περιοδικῷ ἔλεγον, Συλλογὴν ἐπιστολῶν σοφῶν τινων καὶ ἄλλων λογίων ἀνδρῶν, οὓς καὶ ὀνομαστὶ κατέλεξα αὐτόθι, ἀπὸ τῆς τετάρτης μέχρι τῆς ἑνδεκάτης ἀρχομένης ἑκατονταετηρίδος ἀκμασάντων. Τὸ χειρόγραφον τοίνυν τοῦτο αἰτησαμένῳ μοι παρὰ τῆς κεκτημένης γεραρᾶς μονῆς τοῦ Εὐαγγελιστοῦ καὶ Θεολόγου Ἰωάννου πρὸς ἐντελῆ

(1) Τόμ. Θ΄, σελ. 285.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ἐξερεύνησιν συνάρτησίν τε, κατὰ τὸ ἐνόν, καὶ συναρμογὴν τῶν παραλελυμένων καὶ συμπεφυρμένων, προφρόνως αὕτη ἀπέσταλκεν οὐ πρὸ πολλοῦ. Καὶ δὴ ἀπρὶξ τοῦ ἔργου ἐπιλαβόμενος κατὰ τὸν μικρὸν τῆς σχολῆς μου χρόνον, ἀνεῦρον ἐν αὐτῷ πεντήκοντα καὶ δύο ἐπιστολὰς τοῦ κατὰ τὸ πρῶτον ἥμισυ τῆς Ε' ἑκατονταετηρίδος ἐν διδασκάλοις τῆς Ἐκκλησίας διαλάμψαντος Θεοδωρήτου ἐπισκόπου Κύρου· ὧν τέσσαρες μὲν τῶν ἐκδεδομένων εἰσίν, αἱ δὲ λοιπαὶ τεσσαράκοντα καὶ ὀκτὼ ἀνέκδοτοι.

Τὸ ὄνομα Θεοδώρητος, ὡς κατωτέρω δειχθήσεται, γέγραπται διὰ τοῦ ῑ ἐν τῷ χειρογράφῳ· καὶ αὕτη, κατὰ τοὺς τεχνογράφους, ἐστὶν ἡ ὀρθὴ γραφή. Οὕτως ἐν παραδείγματι ὁ Ἡρωδιανὸς ἐν τοῖς *Ἐπιμερισμοῖς* λέγει: «*Τὰ διὰ τοῦ ῑτος προπαροξύτονα διὰ τοῦ ἰῶτα γράφονται· οἷον, Θεοδώριτος, κύριον*» (1). Ὡσαύτως καὶ ὁ Χοιροβοσκὸς ἐν τῇ *Ὀρθογραφίᾳ*, καὶ ὁ Τζέτζης (2). Ἀλλὰ καὶ ὁ Εὐστάθιος ταῦτα φησί: «*Καὶ ὁ Ἐπίκτιτος δὲ τὸ κύριον, κατὰ τοὺς τεχνικούς, καὶ ὁ Θεοδώριτος [διὰ τοῦ ῑ διχρόνου κατὰ τὴν παραλήγουσαν γράφεται]*» (3). Ὁ δὲ Σουίδας: «*Θεοδώριτος ὄνομα κύριον· Θεοδώρητος δέ, διὰ τοῦ η, ἡ δωρεὰ τοῦ Θεοῦ*» (4). Οὕτω δὲ καὶ τὴν Κύρον, ἥτις ἦν πρωτεύουσα πόλις τῆς ἐν Συρίᾳ Κυρρηστικῆς χώρας κατὰ τὴν ἐπαρχίαν Εὐφρατησίαν, οἱ μὲν διὰ διπλοῦ ρ γράφουσιν, ὡς Στέφανος,

(1) Σελ. 177. Boisson.

(2) Ἐν Κραμέρου *Ἑλλην. Ἀνεκδ. Ὀξων.* Τόμ. Β', σελ. 170 καὶ Γ', σελ. 372.

(3) *Παρεκβ.* εἰς Ἰλ. Β, σελ. 264, 33.

(4) Ἐν λέξει.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Πλίνιος (1), Τάκιτος (2), καὶ δύο τῶν ἐκδεδομένων ἐπιστολῶν (3)· οἱ δὲ πλείους δι' ἑνὸς μόνου, ὡς Δίων ὁ Κάσσιος (4), Πτολεμαῖος (5), Ἱεροκλῆς (6), Γεννάδιος ὁ πρεσβύτερος (7) καὶ Προκόπιος (8), ὅς καὶ ἱστορεῖ περὶ αὐτῆς, ὅτι: «*παρεωραμένην οὖσαν ἀνέδειξεν ὁ Ἰουστινιανὸς πόλιν εὐδαίμονα καὶ λόγου ἀξίαν πολλοῦ, τείχους τε ἀσφαλείᾳ ἐχυρωτάτου καὶ φρουρῶν πλήθει καὶ οἰκοδομῶν δημοσίων μεγέθει, καὶ τῆς ἄλλης κατασκευῆς τῷ ἐς ἄγαν μεγαλοπρεπεῖ*». Ἔμοιγε μέντοι ἀποδεκτὴ μᾶλλον ἔδοξεν ἐν μὲν τῷ Θεοδωρήτου ὀνόματι ἡ διὰ τοῦ η γραφή, ἐν δὲ τῷ τῆς πόλεως Κύρου ἡ διὰ τοῦ ἑνὸς ρ, ἅτε συνηθεστέρα οὖσα παρὰ τοῖς ἐκκλησιαστικοῖς συγγραφεῦσιν.

Περὶ τοῦ βίου τοῦ θεσπεσίου τούτου ἀνδρός, τῶν συγγραμμάτων, τῆς πίστεως, τῶν πρὸς τὸν Ἀλεξανδρείας Κύριλλον δογματικῶν αὐτοῦ διαφορῶν κατὰ τὴν ἐν Ἐφέσῳ Γ' οἰκουμενικὴν Σύνοδον (τῷ 431), κλπ., πολλοὶ τῶν σοφῶν ἐπραγματεύσαντο, οἱ μὲν ἐπιτομώτερον, ὡς ὁ Φαβρίκιος (9), ὁ Καβαῖος (10), ὁ Δουπῖνος (11), ὁ Σχούλτζιος (12),

(1) *Histor. Natur.* V, 13. (2) *Annal.* II, 57.

(3) Ἡ ριδ' καὶ ριε'. Τὸ δ' ἡμέτερον χειρόγραφον ἐν ἐπιστ. ιζ' ἔχει τὸ αὐτὸ ὄνομα δι' ἑνὸς ρ.

(4) Βιβλ. ΟΑ', 22. (5) Βιβλ. Ε', ιε'. § 13. (6) *Συνέκδ.* μή.

(7) *De vir. illustr.* cap. 89. (8) *Περὶ τῶν κτισμ. Ἰουστινιαν.* Β', ια'.

(9) Io. Alb. Fabricius *Biblioth. Gr.* τόμ. Ζ', σελ. 429-32, καὶ Η', σελ. 277-309. Harl.

(10) Gul. Cave *Scriptor. ecclesiast. Histor. Liter.* τόμ. Α', σελ. 405.

(11) L. Ell. Dupin *Biblioth. des aut. ecclésiast.* etc., τόμ. Δ', σελ. 81-188.

(12) I. L. Schulze *Dissert. de vita et script. Theodoreti*, ἐν ἀρχῇ τοῦ Α' τόμου

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ὁ Γολδουΐτζερος (1), ὁ Φέσλερος (2), καὶ εἴ τις ἄλλος· οἱ δὲ πλατύτερον, ὡς ὁ Οὐδῖνος (3), ὁ Τιλλεμόντιος ἐν *ἄρθροις* πεντήκοντα καὶ ἑνί (4), ὁ Κειλλιέρος ἐν *ἄρθροις* τέσσαρσιν (5), καὶ ὁ ἡμέτερος Εὐγένιος ὁ Βούλγαρις (6). Τοὺς πάντας ὅμως τούτους ὑπερέβαλεν ὁ καὶ πάντων γεραίτερος ἰησουίτης Ἰωάννης Γαρνιέρος, ἱστορίαν ὅλην ἐν πέντε *Διατριβαῖς* ἐκθέμενος περί αὐτοῦ, τὸν πέμπτον τόμον πληρούσαις τῶν κατὰ τὴν ἔκδοσιν τοῦ Migne *Θεοδωρήτου Ἁπάντων*, ὀγδοηκοστὸν δὲ τέταρτον τῆς *Σειρᾶς τῆς Ἑλληνικῆς Πατρολογίας*, τῆς δὲ τοῦ Σχουλτζίου τὸ α' τοῦ πέμπτου τόμου μέρος.

Τοῦ Θεοδωρήτου ἡ γέννησις τίθεται μεταξὺ τοῦ 386 — 93 ἔτους, ἡ δὲ προχείρισις αὐτοῦ εἰς τὴν Κύρου ἐπισκοπὴν μεταξὺ τοῦ 421 - 23, καὶ ἡ τελευτὴ τῷ 457. Ἰωάννης Μαυρόπους ὁ Εὐχαΐτων μητροπολίτης, ἀρίγνωτος καὶ ἐκ τῆς ποιηθείσης αὐτῷ *Ἀκολουθίας τῶν*

σελ. 1 - 52 τῆς ὑπ' αὐτοῦ ἐκπονηθείσης ἐκδόσεως τῶν *Θεοδωρήτου Ἁπάντων*. Halae. 1769 - 72.

(1) F. W. Goldwitzer *Patrolog. verbund. mit Patristik,* τόμ. Β', σελ. 159 - 71.

(2) Jos. Fessler *Institution. Patrolog.* τόμ. Β', σελ. 688 - 705.

(3) Casim. Oudin *De scriptor. ecclesiast. antiq.* τόμ. Α', στήλ. 1051 - 1134.

(4) Len. De Tillemont *Memoires p. serv. a l'Hist. Ecclésiast.* τόμ. ΙΕ', σελ. 207 - 340.

(5) D. Remy Ceillier *Hist. Génér. des auteurs sacrés et ecclésiast.* τόμ. ΙΔ', σελ. 32 - 267.

(6) Ἐν τόμῳ Α', σελ. 1 - 72 τῆς ὑπ' αὐτοῦ γενομένης ἐκδόσεως τῶν *Θεοδωρήτου Σωζομένων*. Ἐν Χάλῃ τῇ Μαγδεβουργικῇ. 1768 - 75.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*Τριῶν Ἱεραρχῶν* (1), τοιάδε περὶ τοῦ διαπρεποῦς τούτου ἐκκλησιαστικοῦ διδασκάλου φησὶν ἐν τῷ διὰ στίχων ἰαμβικῶν *Ὑπομνήματι* αὐτοῦ *εἰς πίνακας μεγάλους τῶν ἑορτῶν* (2):

ΜΗ'. *Εἰς τοὺς ἁγίους Πατέρας ἱστορημένους, ἐν οἷς ἦν καὶ Θεοδώρητος.*

*Ἀνιστορήσας τοὺς σοφοὺς διδασκάλους,*
*Καὶ τὸν Θεοδώρητον αὐτοῖς συγγράφω,*
*Ὡς ἄνδρα θεῖον, ὡς διδάσκαλον μέγαν,*
*Ὡς ἀκράδαντον ὀρθοδοξίας στύλον.*
*Εἰ δ' ἐκλονήθη μικρὸν ἔκ τινος τύχης,*
*Ἄνθρωπος ἦν, ἄνθρωπε, μὴ κατακρίνῃς.*
*Οὐ γὰρ τοσοῦτον δυσσεβὴς ἦν ὁ κλόνος,*
*Ὅσον μετεῖχε τῆς ἐριστικῆς βίας.*
*Τί γάρ, Κύριλλον πανταχοῦ νικᾶν ἔδει,*
*Καὶ δογματιστὴν ὄντα καὶ λογογράφον;*
*Ὅμως δὲ τοῦτο καὶ διώρθωται πάλιν.*
*Τὰ δ' ἄλλα πάντα τῶν μεγίστων ποιμένων*
*Βλέπων τὸν ἄνδρα μηδενὸς λελειμμένον,*
*Ἐνταῦθα τούτοις εἰκότως συνεγγράφω.*

(1) Τοῦ ἱεροῦ τούτου ἀνδρὸς *Ἐγκώμιον εἰς τοὺς Τρεῖς Ἱεράρχας* τέως ἀνέκδοτον ἐκδέδοται ἐν Κωνσταντινουπόλει τῷ 1852 ὑπὸ τῶν τροφίμων τῆς ἐν Χάλκῃ θεολογικῆς σχολῆς ἐκ χειρογράφου τῆς αὐτόθι βιβλιοθήκης. Τὸ δ' αὐτὸ εὕρηται κἀν τοῖς χειρογράφοις τῆς Οὐϊνδοβονησίας βιβλιοθήκης (Cod. Theolog. 144. Num. 6. Fol. 217), καὶ τῶν Ἀθωιτίδων μονῶν τῆς Μ. Λαύρας, τοῦ Βατοπεδίου καὶ τοῦ Διονυσίου (Νικοδ. *Συναξαρ.* λ' Ἰανουαρ. ἐν ὑποσημ.).

(2) Migne *Ἑλλην. Πατρολογ.* τόμ. ΡΚ', σελ. 1161.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Ὁ δὲ πολὺς Εὐγένιος ταῦτα ἐν τῷ βίῳ αὐτοῦ ἱστορεῖ (1) : «*Θεόδωρος μὲν γὰρ ὁ Μουψουεστίας ἐκεῖνος, ὃν καὶ μυρίων οὐκ ἐλάσσονας βίβλους λόγος ἔχει συγγεγραφέναι, τῆς ἐν ἱεραῖς γραφαῖς αὐτὸν θεοσοφίας τὰ βάθη ἐδίδαξεν ἐπιστημόνως ἀναδιφᾷν· Ἰωάννης δὲ ὁ μέγας, ὁ τὴν γλῶτταν χρυσοῦς, τὰς τῆς εὐγλωττίας αὐτῷ ἀνεστόμου πηγάς, ἐξ ὧν μετ' οὐ πολὺ τοῖς τῷ δίψει τοῦ λόγου συνεχομένοις ῥέειν ἔμελλεν ἀφθόνως τὰ τῆς διδασκαλίας σωτήρια νάματα*». Καὶ προϊὼν : «*εἰς τοσοῦτον ἤλασεν εὐκλείας καὶ δόξης, ὥστε τοῖς ἄκροις καὶ πρώτοις τῶν ἐν τῇ Ἐκκλησίᾳ διαπρεψάντων Πατέρων ἐφάμιλλος κηρυχθῆναι . . . Θεωρίας μὲν οὖν ὕψει, καὶ λόγων κάλλεσι, καὶ σοφίας πλούτῳ τῆς τε καθ' ἡμᾶς καὶ τῆς θύραθεν ἀμφιλαφῶς κομῶν καὶ παρὰ πᾶσι μεγαλυνόμενος, οὐ μετὰ πολλοὺς τὰ πρῶτα φέρειν ὁ ἀνὴρ μεμαρτύρηται. Βίου δὲ ἁγνείᾳ καὶ καθαρότητι, καὶ ὁσιότητι τρόπου, καὶ τῇ ἄλλῃ τοῦ πολιτεύματος ἀκριβείᾳ, τῷ τε ὑπὲρ τῆς εὐσεβείας διαπύρῳ ζήλῳ καὶ τοῖς ὑπὲρ αὐτῆς ἀγωνίσμασιν, οὐ πάνυ ῥᾴδιον εὑρεῖν οἶμαι, ὅτου ἄν τις τοῦτον τάξειε δεύτερον*».

Πλὴν δὲ τῶν ἄλλων τοῦ Θεοδωρήτου συγγραμμάτων, ἐσώζοντο ἔτι ἐπὶ τῶν ἡμερῶν τοῦ ἐκκλησιαστικοῦ ἱστοριογράφου Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου (1335 - 41) ἐπιστολαὶ ὑπὲρ τὰς πεντακοσίας, κατὰ τὴν μαρτυρίαν αὐτοῦ τούτου (2). Ἀλλ' ἐν μὲν ταῖς προ-

(1) Τόμ. Α', σελ. 10 καὶ 55 τῆς ἀνωτέρω μνημονευθείσης ἐκδόσεως αὐτοῦ.

(2) «*Καὶ ἐπιστολαῖς δὲ τούτου ὑπὲρ τὰς πεντακοσίας ἐνέτυχον ἀρίστως καὶ κατὰ λόγον ἕλληνα συντεταγμέναις*» [Ἐκκλησ. Ἱστορ. ΙΔ', νδ'.].

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

τέραις ἐκδόσεσι μόνον ΡΞΓ' φέρονται ἐκδεδομέναι· ὁ δὲ Migne προςτέθηκεν ἐν τῇ αὐτοῦ ἐκδόσει ἑτέρας ΙΗ' (1). Προστιθεμένων δὲ ταύταις καὶ τῶν νῦν ἐκδιδομένων ΜΗ', ἔχομεν ἐν συνόλῳ ἐπιστολὰς τοῦ μακαρίου πατρὸς καὶ διδασκάλου ΣΚΘ', τουτέστιν ἔλαττον τοῦ ἡμίσεος τῶν ἐπὶ Ξανθοπούλου σωζομένων. Ἴσως δ' ὁ μέλλων χρόνος ἐκθάψοι ἔκ τινος μοναστηριακοῦ βιβλιοτάφου καὶ τὰς λοιπάς.

Λείπεταί μοι δὲ καὶ περὶ τῶν νῦν ἐκδιδομένων διαλαβεῖν. Αὗται τοίνυν εἰσὶν ἐν τῷ χειρογράφῳ τεταγμέναι μετὰ τὰς Ἀλεξάνδρου τοῦ Νικαίας μητροπολίτου (2), εἴκοσι τὸν ἀριθμὸν οὔσας, οὑτωστὶν ἐπιγραφόμεναι: *Ἐπιστολαὶ τοῦ μακαριωτάτου Θεοδωρίτου ἐπισκόπου Κύρου*· καὶ ἐν τέλει: *Τέλος τῶν ἐπιστολῶν Θεοδωρίτου ἐπισκόπου Κύρου*. Αἱ δ' ἐπιγραφαὶ αὐτῶν πῇ μέν εἰσι στοιχηδόν, πῇ δὲ κιονηδὸν γεγραμμέναι, κατὰ μῆκος δηλονότι τῆς ὤας. Ἀτυχῶς μέν-

(1) *Ἑλλην. Πατρολογ.* τόμ. ΠΓ', σελ. 1173-1474.

(2) Ἤκμαζεν οὗτος ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Πορφυρογεννήτου (913-59), εἷς ὢν τῶν πρὸς συγκρότησιν φιλοσόφου σχολῆς ὑπὸ τοῦ αὐτοκράτορος τούτου κληθέντων τεσσάρων καθηγητῶν, ἀνατεθείσης τῆς διδασκαλίας τῆς μὲν ῥητορικῆς εἰς αὐτὸν τοῦτον, τῆς δὲ φιλοσοφίας εἰς Κωνσταντῖνον τὸν πρωτοσπαθάριον καὶ μυστικόν, τῆς δὲ γεωμετρίας εἰς Νικηφόρον τὸν πατρίκιον, τῆς δ' ἀστρονομίας εἰς Γρηγόριον τὸν ἀσηκρῆτιν· ὥστε, κατὰ τὸν ταῦτα ἱστοροῦντα ἀνώνυμον, τὸν συγγεγραφότα τὴν Συνέχειαν τῆς Θεοφάνους *Χρονογραφίας* [ϛ', 14, σελ. 446. Bonn.] «*τὴν πολιτείαν Ῥωμαίων τῇ σοφίᾳ κατεκόσμησεν* [ὁ αὐτοκράτωρ δηλ.] *καὶ κατεπλούτισεν*». Αἱ δ' ἐπιστολαὶ αὐτοῦ ἐπιγράφονται οὕτως: *Ἀλεξάνδρου τοῦ γεγονότος μητροπολίτου Νικαίας αἱ μετὰ τὴν ἀναχώρησιν τοῦ φυλάττοντος αὐτὸν γραφεῖσαι ἐπιστολαὶ ἀπὸ Μονοβάτων.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

τοι ἡ ΚΗ΄ καὶ ΚΘ΄ εἰσὶν ἐλλιπεῖς, ἡ μὲν περὶ τὸ μέσον, ἡ δ᾽ἐν τῇ ἀρχῇ, ἑνὸς φύλλου, ὡς τεκμαίρομαι, ἐκρυέντος. Καθόλου δ᾽εἰπεῖν τὸ χειρόγραφόν ἐστιν ἐπιμελῶς τε καὶ προσεκτικῶς γεγραμμένον· ἀλλ᾽ἔστιν οὓ διέφυγον τὴν τοῦ ἀντιγραφέως προσοχὴν καί τινες πλημμελῶς ἔχουσαι γραφαί, ἃς καὶ παραδείκνυμι ἑκασταχοῦ ἐν τῇ τοῦ μετὰ χεῖρας τεύχους πέζῃ. Ἐπειράθην δὲ καὶ τὰ ἐκ τῶν διαβρωμάτων τῶν σητῶν ἐνιαχοῦ διεφθαρμένα συμπληρῶσαι, ἀστόχως εἴτ᾽εὐστόχως κρινέτωσαν οἱ περὶ ταῦτα δεινοί. Οὐ μὴν δ᾽ἀλλὰ καὶ βραχείας τινάς, τό γ᾽ἐπ᾽ἐμοί, προσέθηκα σημειώσεις ἐν οἷς χωρίοις ἔδοξέ μοι τοῦτο προσῆκον. Ἐπιπλέον δὲ ὑπέδειξα ἐν τέλει καὶ τὰ τῶν τεσσάρων ἐκδεδομένων ἐπιστολῶν διαφέροντα ἐν τῷ χειρογράφῳ.

Ἐκδόσεις τῶν Θεοδωρήτου σωζομένων ἁπάντων ἐγένοντο μέχρι τοῦδε τέσσαρες, ἤτοι ἡ ὑπὸ Ἰακώβου Σιρμόνδου ἐν Παρισίοις τῷ 1642, τετράτομος· ἡ ἀνωτέρω δηλωθεῖσα ὑπὸ Ἰωάν. Λουδ. Σχουλτζίου ἐν Ἅλῃ τῷ 1769, πεντάτομος· ἡ ἀνωτέρω ὡσαύτως δηλωθεῖσα ὑπὸ Εὐγενίου τοῦ Βουλγάρεως ἐν Ἅλῃ τῷ 1768, πεντάτομος· καὶ τελευταία ἡ ὑπὸ τοῦ Ι. Π. Μιγνίου ἐν Παρισίοις τῷ 1860, πεντάτομος, τῆς δὲ Σειρᾶς τῆς Ἑλλην. αὐτοῦ Πατρολογίας τόμ. Π΄-ΠΔ΄.

*Ἀθήνησιν Ἰανουαρίου φθίνοντος ͵αωπε΄.*

Ακαδημία Αθηνών / Academy of Athens

# ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ

# ΘΕΟΔΩΡΗΤΟΥ

## ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΟΥ

# ΕΠΙΣΤΟΛΑΙ

## Α'.

### Βασιλειῳ Επισκοπῳ Ισαυριας (1).

Πολλὰς τῇ σῇ θεοσεβείᾳ πέμπων ἐπιστολὰς ὀλίγας κομίζομαι· τὴν αἰτίαν δὲ ἀγνοῶ· ὀκνῶ γὰρ ἐγκαλέσαι ῥαστώνην. Ἐγὼ μέντοι δι᾽ ἑκάστου τῶν ἐνθένδε πρὸς ὑμᾶς ἀπαιρόντων ἐπιστέλλειν σπουδάζω, ζημίαν ἡγούμενος τὴν τοιαύτην σιγήν, καὶ τῶν τῆς ἀγάπης καρπῶν τὸν ἀξιέραστον συλλέγειν ἐφιέμενος πλοῦτον. Τεκμηριοῖ δέ μου τὴν γνώμην καὶ τάδε τὰ γράμματα· οὐ γὰρ δεξάμενος ἐπιστολὴν τῆς σῆς ὁσιότητος διὰ τοῦ θεοφιλεστάτου Παύλου τοῦ ἐπισκόπου, καὶ γράφω, καὶ τὴν φιλτάτην ἐμοὶ περιπτύσσομαι κεφαλήν, καὶ παρακαλῶ ἐν μὲν τοῖς γράμμασιν τῶν ἴσων τυγχάνειν, ἐν δὲ ταῖς προσευχαῖς τῶν μειζόνων. Μεγάλα γὰρ κερδαίνειν μεγαλαυχῶ τῶν ὑμετέρων μεταλαγχάνων εὐχῶν.

## Β'.

### Ευσεβιῳ Επισκοπῳ Αγκυρας (2).

Ἀψευδὴς ἄρα τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν ἡ ὑπόσχεσις.

(1) Ἐν ταῖς ἐκδόσεσι φέρονται καὶ ἕτεραι δύο πρὸς τοῦτον ἐπιστολαί, ἡ ΠΕ' καὶ ΡΒ'·
(2) Ὡσαύτως φέρονται καὶ πρὸς τοῦτον ἕτεραι δύο ἡ ΠΒ' καὶ ΡΘ'.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Ὑπέσχετο δὲ εἰς ἅπασαν χυθήσεσθαι τὴν οἰκουμένην τὴν τῆς θεογνωσίας διδασκαλίαν· βοᾷ δὲ τὰ πράγματα μαρτυροῦντα τῷ λόγῳ. Οὐ γὰρ μόνον ἔθνη, καὶ πόλεις, καὶ κώμας, καὶ ἀγρούς, καὶ ἐσχατιὰς ἰθύνουσι τῆς εὐσεβείας οἱ τρόφιμοι, καὶ οἱ τῆς ἱερωσύνης ἠξιωμένοι, ἀλλὰ καὶ αὐτὰ τῶν στρατιωτῶν τὰ τάγματα, ἐν πόλεσι καὶ κώμαις διάγοντα, ἀφιερωμένους ἔχει νομέας. Τούτων εἷς ἐστι καὶ ὁ εὐλαβέστατος διάκονος Ἀγαπητός· ὃς αὔχεῖ μὲν πόλιν τὴν τῆς ἡμετέρας ἐπαρχίας μητρόπολιν, στρατιωτικὸν δὲ τάγμα ἐτάχθη πρὸς τὰ θεῖα ῥυθμίζειν· οὗ δὴ χάριν καὶ νῦν ἐπὶ τὴν Θρᾴκην ἀπῆρεν· ἐκεῖ γὰρ τούτου συμβαίνει διάγειν τὸν ἀριθμόν. Τὴν γὰρ δεσποτικὴν ἐκείνην δέδιεν ἐντολήν: *Ὦ ποιμένες, ποιμένες*, λέγουσαν, *τὸ συντετριμμένον οὐ κατεδήσατε, τὸ καταπεπτωκὸς οὐκ ἀνωρθώσατε, τὸ πεπλανημένον οὐκ ἐπεστρέψατε* (1). Αὐτὸς μὲν οὖν τήνδε τὴν κατηγορίαν δειμαίνων ἐντεῦθεν ἀπῆρεν, ἐμοὶ δὲ προὐξένησε (2) τὸ σφόδρα ποθούμενον· ἀξιέραστα δέ μοι τὰ πρὸς τὴν σὴν ἁγιότητα γράμματα. Τοῦτο δέ μοι καὶ πεποίηκε καὶ τρέφει τὸν ἔρωτα, ἡ παρὰ πάντων φερομένη τῆς σῆς ὁσιότητος εὐφημία, ἣν αὔξεσθαι προσεύχομαι καθ᾽ ἑκάστην ἡμέραν εἰς ὑμνῳδίαν τοῦ δεσπότου Χριστοῦ καὶ ὠφέλειαν τῶν αὐτῷ τριποθήτων λαῶν. Ἐμοὶ δὲ μέγιστον ἀγαθὸν τὸ τῆς θείας ἐπὶ τοῖς ἐπταισμένοις φιλανθρωπίας τυχεῖν· ἧς ἀπολαύσαιμι ῥᾴδιον εἰ προσεύξαιο, δέσποτα.

## Γ΄.

## Θεοδότῳ Κόμητι.

Ἐγὼ διηνεκῶς τῶν ἐκεῖθεν ἀφικνουμένων διατελῶ πυνθανόμενος, πῶς ἡ σὴ διάκειται μεγαλοπρέπεια κατά τε ψυχὴν κατά τε τὸ σωμάτιον· ἧς πολλὴν ἔχω τὴν φροντίδα, καὶ σφόδρα πολλήν. Θνητὸν γὰρ τοῦτο καὶ ἐπίκηρον καὶ μόνιμον ἔχον οὐδέν·

(1) Ἰεζεκ. λδ΄, 2—4.
(2) Τὸ χειρόγρ. : *Προὐξένισε.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

τό τε γὰρ τῆς νεότητος ἄνθος ὑποῤῥεῖ καὶ μαραίνεται, ἥ τε ὥρα πολλὰς ἔχει μεταβολάς, τὰς μὲν ὑπὸ τοῦ χρόνου, τὰς δὲ ὑπὸ παθημάτων ἐργαζομένας. Οὕτω δὲ αὖ καὶ ἡ ῥώμη δαπανᾶται, καὶ τὴν εὐεξίαν ἀσθένεια διαδέχεται. Τῆς δέ γε ψυχῆς [ἄσ]υλα τὰ ἀγαθά, καὶ τὸ κάλλος ἀγήρατον καὶ ὁ πλοῦτος, οὔτε συκοφάνταις οὔτε κακούργοις προκείμενος, ἀλλὰ πᾶσαν ὑπερβαίνων ἐπιβουλὴν καὶ διαρκῶν εἰς τοὺς ἀπεράντους αἰῶνας. Τούτου δὴ χάριν ταύτης πέρι διαφερόντως φροντίζων γάννυμαι μανθάνων ὡς μέλει σου τῇ μεγαλοπρεπείᾳ τοῦ βίου τοῦ [μέ]λλοντος καὶ τῶν τριποθήτων ἐκείνων ὑποσχέσεων, ἃς ὁ Δεσπότης ἡμῶν πρὸς ἡμᾶς ἐποιήσατο, δώσειν ὑποσχόμενος τοῖς ἀγαπῶσιν αὐτόν, ἃ *μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη* (1)· διδάσκων ὡς ὑπὲρ τὰ ὁρώμενα ἐστὶ τὰ προσδοκώμενα· οὗ δὴ ἕνεκεν οἱ κατὰ τὴν ὁσιότητα ταῖς ἐλπίσιν ἐκείναις τρεφόμενοι ὑπερορῶσι μὲν τῶν παρόντων, τὰ δὲ πλεῖστα τῶν ὄντων εἰς ἐκείνην παραπέμπουσι τὴν ζωήν, ἵν᾽ ἔχωσιν ἀποδημοῦντες ἐφόδιον. Καὶ ἐπειδὴ τὸ φρικῶδες ἐκεῖνο δειμαίνουσι δικαστήριον, οἷόν τινας συνηγόρους μισθοῦνται τοὺς πένητας, ἵνα δι᾽ ἐκείνων τὸν δικαιοκρίτην (2) εἰς ἔλεον ἐφελκύσωνται, καὶ τῇ περὶ τὸν πέλας συμπαθείᾳ φιλανθρωπίαν ὠνήσωνται. Ἐκεῖνα γὰρ μόνα συνεκδημεῖ τοῖς ἐντεῦθεν ἀπαίρουσιν, ἅπερ ἂν ἔτι περιόντες διὰ τῶν δεομένων προπέμψωσι· τῶν δὲ λοιπῶν ἕτεροι γίνονται κύριοι, οὐδαμῶς [ὀ]νῆ[σα]ι τοὺς ἀπελθόντας δυνάμενοι· ὅπερ ἡ σὴ σαφῶς μαθοῦσα μεγαλοπρέπεια εἰς δέον οἰκονομήσει τὸν θεόσδοτον πλοῦτον· *Λύτρον γὰρ ἀνδρὸς ὁ ἴδιος πλοῦτος*, κατὰ τὴν θείαν Γραφήν (3).

(1) Α΄ Κορινθ. 6΄, 9.
(2) Τὸ χειρόγρ. : *Δικαιοκριτήν*.
(3) Παροιμ. ιγ΄, 8.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



## Δ'.

### Ἀγάθωνι Ἀρχιμανδρίτῃ.

Οἱ κερδαίνειν εἰδότες (1) πανταχόθεν τὸ κέρδος συνάγουσι, καὶ μιμοῦνται τὴν μέλισσαν, ἥ[τις] καὶ ἐκ πικρῶν βοτανῶν γλυκυτάτην ἀρυομένη νοτίδα, τὸ ἥδιστον μέλι τοῖς ἀνθρώποις προςφέρει. Ταύτην ἡ σὴ μιμουμένη εὐλάβεια, καὶ ἐξ ἡμῶν κεκερδηκέναι (2) φησίν. Ἡμεῖς δὲ τῆς μὲν γραφῆς τὸ κέρδος οὐκ ἐπιστάμεθα, τὴν δὲ σὴν ἐπαινοῦμεν θεοσέβειαν, πανταχόθεν ἐμπορίας ἀφορμὰς θηρωμένην, καὶ εὐχόμεθα μέχρι τέλους ὑμᾶς διαδραμεῖν, καὶ τὸ βραβεῖον τῆς νίκης λαβεῖν.

## Ε'.

### Φλωρεντίῳ Ὑπάρχῳ (3).

Ἄλλως μὲν οὐκ ἂν ἐθάῤῥησα προςειπεῖν διὰ γραμμάτων τὸ ὑμέτερον μέγεθος, καὶ τὴν οἰκείαν εὐτέλειαν μετρεῖν ἐπιστάμενος, καὶ τῆς ὑμετέρας ἐξουσίας τὸν ὄγκον εἰδώς. Ἐπειδὴ δὲ πίστει κοσμούμενοι καὶ τὰ θεῖα πεπαιδευμένοι, καταβῆναι τοσοῦτον ἠνέσχεσθε, καὶ ἄσημον ἄνδρα καὶ οὐδαμόθεν γνώριμον ἠξιώσατε τῶν ὑμετέρων (4) γραμμάτων, ἀνεθάῤῥησα κἀγώ, κατὰ τὴν προφητείαν, *ἀρνειὸς σὺν τῷ λέοντι συναυλίζεσθαι* (5).

(1) Ἐνταῦθα ὁ ἀντιγραφεὺς παρεπέγραψε κατὰ μῆκος τῆς ᾤας: *Σημείωσαι ὅλον.*

(2) Τὸ χειρόγρ.: *Κεκερδακέναι.*

(3) Ἔστιν ἴσως ὁ αὐτὸς τῷ ὁμωνύμῳ πατρικίῳ, πρὸς ὃν ἀποτείνεται ἡ ἐν ταῖς ἐκδόσεσιν ΠΘ' ἐπιστολή.

(4) Τὸ χειρόγρ.: *Ἡμετέρων.*

(5) Σκοπείτω ἕτερος πόθεν ἡ ῥῆσις εἴληπται. Ἐμοὶ γὰρ οὐκ ἐξεγένετο ἀνευρεῖν αὐτὴν ἐν τῇ ἁγίᾳ Γραφῇ· ἀλλὰ καὶ ἡ λέξις: *Συναυλίζεσθαι* ἅπαξ μόνον ἀπαντᾷ ἐν ταῖς Σολομῶντος *Παροιμίαις* [κϐ', 24]. Ἴσως μέντοι γε μνήμης ἁμαρτίᾳ ἐξήνεγκεν οὕτω τὸ Ἡσαΐου: *Καὶ συμβοσκηθήσεται λύκος μετὰ ἀρνός, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ* [ια', 6]. Ἐν τούτῳ δὲ παρεπέγραψεν ὁ ἀντιγραφεὺς κατὰ μῆκος τῆς ᾤας: *Σημείωσαι προφητικόν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Τούτων δὲ τῶν παραδόξων θαυματουργὸς ὁ τῶν ὅλων δεσπότης Χριστός, ὁ δι᾽ ἁλιέων, καὶ τελωνῶν, καὶ σκυτοτόμων τὸν πλανώμενον εἰς τὴν εὐθεῖαν ποδηγήσας ὁδόν. Διδάσκω τοίνυν τὸ ὑμέτερον μέγεθος, ὡς ἑτέραν μὲν ἡμεῖς ποιμαίνειν ἐνεχει[ρ]ί[σ]θημεν ἐπαρχίαν, ἀδελφικὴν δὲ ὅμως εἰςφέρειν δυνάμεθα συμβολήν· ὃ δὴ καὶ ποιήσομεν, ἐπειδή περ ὑμεῖς ἐκελεύσατε, καὶ τοὺς τῆς ψήφου κυρίους πειρασόμεθα πεῖσαι εἶξαι τοῖς γράμμασι. Μεμάθηκα γὰρ κἀγὼ, ὡς ὁ θεοσεβέστατος πρεσβύτερος Εὐστάθιος εὐλαβείᾳ κοσμεῖται καὶ τῆς τοῦ δεσπότου Θεοῦ θεραπείας πολλὴν ποιεῖται φροντίδα.

## Ϛʹ.

### Τιτῳ Κομητι Δομεστικῳ.

Τῶν προςόντων ὑμῖν ἀγαθῶν τὸ πλῆθος, καὶ θερμοὺς ἡμᾶς ὑμῶν καθίστησιν ἐραστάς, καὶ ἄληστον τῆς ὑμετέρας μεγαλοπρεπείας τὴν μνήμην ἐργάζεται. Διὸ δὴ παρόντες μέν, τῇ συνεχεῖ θεραπεύομεν θέᾳ τὸν πόθον, ἀπόντες δέ, γράμμασιν ἑαυτοὺς ψυχαγωγεῖν σπουδάζομεν. Καὶ εἴη ταῖς τῶν ἁγίων εὐχαῖς ἐπὶ πλεῖστον ὑμᾶς ἀρετῆς ἀφικέσθαι (1), καὶ εἰς τὸ ἀκρότατον ἀναβῆναι τῶν ἀγαθῶν, ἵνα τοῖς ὑμετέροις κατορθώμασιν ἅπαντες οἱ τὰ θεῖα φρονοῦντες ὡραΐζωνται. Μέγα γὰρ ἀληθῶς εἰς εὐφημίαν (2) ἐν ζώνῃ, καὶ χλ[αν]ίδι, καὶ ἐξουσίᾳ τοσαύτη εὐσέβεια, καὶ πραότης, καὶ καλοκἀγαθία, καὶ ἡ τοῦ δικαίου τιμή.

## Ζʹ.

### Αεριῳ Σοφιστῃ (3).

Σὺ μέν, ὦ ἄριστε, συγγινόμενος ἀεί, τὴν ἐκ ῥητορικῆς καὶ

(1) Γραπτ. ἴσως : *Ἐφικέσθαι.*

(2) Κἀνταῦθα παρεπέγραψεν ὁ αὐτός : *Σημείωσαι ὅλον.*

(3) Πρὸς τοῦτον φέρονται ἐν ταῖς ἐκδόσεσι καὶ ἕτεραι δύο ἐπιστολαί, ἡ Λʹ καὶ Ξϛʹ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

φιλοσοφίας πεποιημένην πανδαισίαν προςφέρεις καὶ τῆς Ἀτθίδος μελίττης χαριεστέραν, ὑφαίνων τὰ τοῦ λόγου κηρία, καὶ γλυκύτερα νάματα ἐνιείς, ἑστιᾶν ἡμᾶς εἴωθας φιλοτίμως. Ἡμεῖς δὲ λόγων πενίᾳ συζῶντες, καὶ τὴν σὴν εὐωδίαν ἀμείψασθαι ποθοῦντες, τὸν ἄριστόν σοι καρπὸν τῆς πατρίδος πεπόμφαμεν, ὃν κλήματα μὲν ἀμπέλων τίκτει, ταῖς ἀπὸ τῶν νεφῶν ἀρδείαις τρεφόμενα, χρόνος δὲ καὶ γῆρας ποιεῖ τιμιώτατόν τε καὶ ἥδιστον, προςηνῆ τε καὶ πρᾶον, καὶ ταῖς τῶν πινόντων κεφαλαῖς οὐ μαχόμενον· πρὸς δὲ τῇ εὐοσμίᾳ καὶ τῇ τῆς γεύσεως ἡδονῇ, καὶ τὸ στόμα τῆς γαστρὸς θεραπεῦσαι δυνάμενον. Ἵνα δὲ μὴ φθόνος τῷ κάλλει τοῦ δώρου λυμήνηται, συμπεπόμφαμεν ἄρτους, τοῦ ἄστεως τὴν ἐρημίαν δηλοῦντας. Λύσεις δὲ σὺ τοῦτο τῆς πατρίδος τὸ ὄνειδος, ἄρτων αὐτῇ δημιουργὸν ἀποστείλας.

## Η΄.

## Εὐλαλίῳ, Γερμανῷ, Πρωτεῖ, Πολιτευομένοις Ζεύγματος (1).

Φήμη τις διαδραμοῦσά[τε καὶ διδ]άξασα πρᾶγμα τολμᾶσθαι παρ' ὑμῖν, καὶ ὑμῶν ἀνάξιον, καὶ τῆς εὐσεβείας ἀλλότριον, σφόδρα ἡμᾶς ἠνίασε. Πῶς γὰρ οὐκ ἐμέλλομεν ἀλγήσειν, τηλικοῦτον μύσος (2) μαθόντες ἐγχειρούμενον παρ' ἀνδρῶν ἐξ ἀρχιερέων φύντων, ἐν εὐσεβείᾳ δὲ τεθραμμένων, καὶ ταύτην ἔτι καὶ νῦν ἔχειν ὑπισχνουμένων; Καὶ γένοιτο μὲν εἶναι τὴν φήμην ψευδῆ· εἰ δ' ἄρ' ἀληθὴς φανείη, θρήνων ἄξια τῷ ὄντι καὶ ὀδυρμῶν τὰ τολμώμενα. Φησὶ γάρ, τοὺς μὲν ἐξ ὑμῶν τὰς θυγατέρας τοῖς ἀδελφιδοῖς κατεγγυῆσαι, τοὺς δὲ θείους ὄντας τῶν ἀδελφιδῶν ἑλέσθαι τὸν γάμον. Τοῦτο δὲ οὐ μόνον τοῖς θείοις ἀλλὰ καὶ τοῖς

(1) Πόλις ἦν τῆς ἐν Συρίᾳ Κυῤῥηστικῆς χώρας τὸ Ζεῦγμα ἐν τῇ δεξιᾷ τοῦ Εὐφράτου ὄχθῃ κειμένη, πλησίον τῶν Σαμοσάτων. [Ἴδε Στράβ. Ις΄, σελ. 746-51, Πτολεμ. Ε΄, ιε΄. §. 14, καὶ Στέφ. Βυζ. ἐν λ.].

(2) Τὸ χειρόγρ.: *Μῦσος*, ὅπως καὶ κατωτέρω.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἀνθρωπίνοις ἀπηγόρευται νόμοις· βδελυρὸν (1) γὰρ καὶ θεομισὲς καὶ ἀκοῆς ἀλλότριον εὐσεβοῦς. Ἀλλ' ἴσως βασιλικοῖς γράμμασιν οἱ γαμοῦντες, τῆς παρανομίας ταύτης ἀπαλλαγὴν σφίσιν αὐτοῖς πραγματεύσονται· ἀλλ' εἰδέναι χρὴ σαφῶς, ὡς οἱ βασιλεύοντες, κἂν πορφυρίδι λαμπρύνωνται καὶ τῆς οἰκουμένης τὰ σκῆπτρα κατέχουσι, παύειν μὲν τὰς κατὰ τόνδε τὸν βίον δύνανται τιμωρίας, αὐτὰς δὲ λύειν τὰς ἁμαρτίας, καὶ τῶν πλημμελημάτων ἐλευθεροῦν τοὺς ἐπταικότας οὐ δύνανται. Ὥστε κἂν μυριάκις γράμμασι βασιλικοῖς ὁ παρανομήσας τῆς κατηγορίας ἀπηλλάγη, ἔχει τὴν τῆς ἁμα[ρτίας] κηλῖδα, καὶ τῷ δικαίῳ κριτῇ τὰς εὐθύνας ὑφέξει. Σκοπήσατε τοίνυν ἡλίκον ἐστὶ ταῖς τοῦ συνειδότος ἀκίσι διὰ βίου κεντεῖσθαι· οὐδὲ γὰρ ἐν μιᾷ καιροῦ ῥοπῇ τὸ παρανόμημα τολμηθήσεται, ἀλλὰ διὰ πάσης τῆς τῶν γαμούντων ζωῆς τὸ μύσος ὁδεύσει. Ἐξετάσατε τοίνυν παρ' ὑμῖν αὐτοῖς καὶ τὴν τοῦ γένους ποιότητα, ὅτι ταὐτόν ἐστι θεῖος πατρὶ, καὶ ἀδελφι[δῇ] θυγατρί. Περσῶν τὸ ταῦτα τολμᾶν, οὐ Ῥωμαίων τῶν τῆς εὐσεβείας τροφίμων. Ἡγοῦμαι δὲ τοὺς ταῦτα νομοθετήσαντας, μηδὲ τροφίμους γενέσθαι τῆς εὐσεβείας, ἀλλ' ἐν δεισιδαιμονίᾳ τέως διάγοντας ταῦτα διαγορεῦσαι. Ἐνθυμήθητε τοίνυν τῆς ἀτοπίας τὸ μέγεθος· τῶν γὰρ δυςσεβῶν ταῦτα νομοθετησάντων, καὶ τοῖς θείοις νόμοις συνῳδὰ (2) τεθεικότων, χριστιανοὺς παραβῆναι οὐδεμίαν ἀσεβείας ὑπερβολὴν καταλήψει. Παρακαλῶ τοίνυν τὴν ὑμετέραν ἀγχίνοιαν αἰδεσθῆναι τὸν νομοθέτην, καὶ τὸν δίκαιον φοβηθῆναι κριτήν, καὶ μὴ γενέσθαι κακὸν τοῖς ἄλλοις παράδειγμα, μηδὲ τὴν τῆς παρανομίας θύραν ἀνοῖξαι τοῖς φιληδόνοις, μὴ προτιμῆσαι τὸ ἡδὺ τοῦ συμφέροντος. Εὑρήσετε γὰρ καὶ ὑμεῖς γαμβροὺς τῆς συγγενείας ἀξίους, καὶ ὑμεῖς κόρας κοσμῆσαι δυναμένας, ἀλλ' οὐ κηλίδων ἐμπλῆσαι τὰς ὑ[μετέρα]ς παστάδας. Οὐκ ἐπέλιπον οὔτε ἄνδρες οὔτε γυναῖκες, ἵνα τὴν σπάνιν ἀντ' ἀπολογίας προβάλλησθε, μηδεμιᾶς τοιαύτης ἀφορμῆς προκειμένης. Ποίοις ὀφθαλμοῖς εἰς οὐ-

(1) Ὡςαύτ.: *Βδελλυρόν*.
(2) Τὸ χειρόγρ.: *Συνωδᾶ*.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ρανὸν ἀναβλέψετε; Ποίαις δὲ γλώτταις τὸν ὑβρισθέντα νομοθέτην αἰτήσετε δοῦναι τῷ γάμῳ τὸν τῶν παίδων καρπόν; Ταῦτα καὶ τὰ τούτοις ὅμοια παρ' ὑμῖν αὐτοῖς λογισάμενοι, καὶ ὡς παρὰ πατρὸς τὴν συμβουλὴν δεξάμενοι, παύσασθε μὲν ἐκείνης τῆς πονηρᾶς ἐγχειρήσεως, τῇ φυλακῇ δὲ τῶν νόμων τὸν γάμον τιμήσατε, καὶ ὑμῖν αὐτοῖς σωτηρίαν διὰ τῆς εὐπειθείας, καὶ ἡμῖν εὐθυμίαν τοῖς συμβουλεύσασι πραγματεύσασθε.

## Θ΄.

### Τοις Αυτοις.

Οἱ τὸν πατρῷον κλῆρον διαδεχόμενοι οὐ στέργουσι τοῖς δοθεῖσιν, ἀλλὰ αὔξειν αὐτὰ σπουδάζουσι. Ταύτην δὲ δεῖ τὴν σπουδὴν εἰς τὰ πνευματικὰ μεταθεῖναι, καὶ τὴν προγονικὴν εὐσέβειαν καὶ τὴν περὶ τοὺς πτωχοὺς φιλοτιμίαν μυριοπλασίω ποιεῖν. Ἐγὼ τὴν ὑμετέραν εὐγένειαν παρακαλῶ ἐκεῖνα δοῦναι τῇ παρ' ἡμῶν ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ, ὡς ὁ ὑμέτερος καταλέλοιπε πάππος, καὶ ἄσβεστον αὐτοῦ φυλάξαι τὴν μνήμην. Τοῦτο δὲ καὶ τοῖς ἄλλοις κτήμασι προξενήσει τὴν εὐλογίαν. Σκοπήσατε δέ, ὡς εἴ τις τὸ ἅπαξ ἀφιερωθὲν Θεῷ καὶ ἀνάθημα γεγενημένον ὑφέλοιτο, ἱεροσυλία τὸ πρᾶγμα σ[α]φ[ῶς;], καὶ κτητόρων οὐ χρήζει. Ὁμολογοῦσι γὰρ τοῦθ' οὕτως οἱ τολμῶντες, ὑπὸ τοῦ συνειδότος ἀναγκαζόμενοι. Ὑμᾶς δὲ μὴ γένοιτο τοῦθ' ὑπομεῖναί ποτε, ἀλλ' εἴη τὰς προγονικὰς εὐλογίας διπλασιάζειν, καὶ διπλᾶ ἀνθ' ἁπλῶν προσφέρειν τὰ δῶρα τῷ Θεῷ.

## Ι΄.

### Αεριω Σοφιστη.

Ἀδικεῖς, ὦ ἄριστε, μηδ' ὅσον: *ἄκροις δακτύλοις*, τὸ δὴ λε-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

γμένον (1), τῆς σῆς ἡμᾶς παιδεύσεως ἀπογεύων, ἀλλὰ περιορῶν διψῶντας, καὶ τὰς τῶν λόγων κρύπτων πηγάς· καὶ δέον τοῖς ἀγνοοῦσι προτιθέναι τὰ νάματα, οὐδὲ τοὺς γνωρίμους τούτων ἐᾷς ἀπολαύειν. Καὶ μὴν ὁ πλοῦτος κρυπτόμενος ἄχρηστός ἐστι τοῖς κεκτημένοις, φαινόμενος δὲ λαμπροὺς τούτους ἀποφαίνει καὶ περιβλέπτους. Φασὶ δὲ καὶ τὰ φρέατα μὴ ἐξαντλούμενα ἀποκναίειν τοὺς χρωμένους, ἐξαντλούμενα δὲ ἡδίω καὶ καθαρώτερα παρέχειν τὰ νάματα. Ἴδιον δὲ καὶ τῆς τέχνης, ἣν τοῖς νέοις προσφέρεις, οὐχ ἡ Πυθαγόρου σιγή, ἀλλὰ στωμυλία καὶ λόγοι χειμάῤῥου δίκην φερόμενοι. Εἰ δὲ σιγᾷς πρὸς μόνους ἡμᾶς, εἰπὲ καὶ τῆς σιγῆς τὴν αἰτίαν, ἵν' ἐλέγξωμεν οὐ δικαίως σιγῶντα.

## ΙΑ΄.

### Τιτῳ Κομητι.

Πολλοὺς μὲν ἔχει πολεμίους τὸ δίκαιον· ἡ γὰρ ἀντίπαλος ἀδικία τοὺς οἰκείους ὁπλίζει κατὰ τούτου τροφίμους, ἡττᾶται δὲ ὅμως καὶ πολλοὺς ἔχουσα τοὺς ὑπηκόους, τῶν τῆς δικαιοσύνης ἐραστῶν προθύμως ὑπὲρ αὐτῆς ἀ[θ]λούντων, καὶ ῥᾷστα σκεδ[αννύν]των τοὺς ἀντιπάλους. Εἷς δὲ τῶν οὕτω λαμπρῶς ἀγωνιζομένων ὑπάρχεις, ὦ ἄριστε· καὶ τούτου μάρτυρες οἱ τῶν παντοδαπῶν τῆς ἀδικίας μηχανημάτων διὰ τῆς σῆς ἀπαλλαγέντες ἐπικουρίας. Οὕτως ἀριστεῦσαι καὶ νῦν τὴν μεγαλοπρέπειάν σου παρακαλῶ, καὶ τῷ κυρίῳ Παλλαδίῳ τῷ φιλοσόφῳ ἐπαμῦναι σπουδαίως, ὑπὸ βαρβάρων τινων, ὥς φησιν, ἀδικουμένῳ· συκοφαντίαις γὰρ βάλλοντες τὸν εἰς βοήθειαν αὐτῷ δοθέντα στρατιώτην, ἀγώγιμον εἰς ἐκεῖνο τὸ δικαστήριον γενέσθαι παρεσκεύασαν. Ἐνταῦθα τῶν ἀκλινῶν ὑμῶν ζυγῶν καὶ τῆς ἀδεκάστου ψήφου δεόμεθα, ἵνα τὸν μὲν πάσης αἰδοῦς ἀξιώτατον φιλόσοφον τυχεῖν τῶν δικαίων κελεύσητε, τῷ δὲ συκοφαντου-

(1) Παροιμία ἐπὶ τῶν οὐκ ἀκριβῶς ἐξησκημένων [Ζηνόβ. Α΄, 61].

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



μένῳ στρατιώτῃ θάρσος παράσχητε, ὅπως τὰ γεγενημένα διδάξας, ψευδῆ δείξῃ τὴν τολμηθεῖσαν κατηγορίαν.

## ΙΒ΄.

### Παλλαδίῳ Φιλοσόφῳ.

Οὐκ ἀπεικότως, ὦ ἄριστε, τὴν πικρὰν ταύτην καὶ ἀνιαρὰν δυςχεραίνεις ζωήν· πολλῶν γὰρ καὶ παντοδαπῶν πλήρης ὁ βίος κακῶν, ὀλίγοι δὲ λίαν εἰσὶν ἀρετῆς φροντισταὶ καὶ φιλοσοφίας ἐρασταί· τὸ δὲ πλεῖστον τοῦ γένους τὴν ἀκοσμίαν ἠγάπησεν, οὐχ ἥκιστα δὲ ὁ παρὼν καιρὸς φορὰν ἤνεγκε πονηρῶν ἀνθρώπων, πᾶν εἶδος κακίας ἀδεῶς μετιόντων, καὶ οὔτε αἰδώς, οὔτε τῶν νόμων τὸ δέος, οὔθ᾽ ἡ τῶν μελλόνπων ἐλπὶς ἱκανὰ κωλῦσαι (1) τῆς κακίας τὴν ῥύμην, καὶ οὐδὲ συσκιάζουσι νῦν ὡς πάλαι τὰ πλημμελούμενα, ἀλλ᾽ ἀναιδείᾳ τὴν ἀδικίαν ὁπλίζουσι, καὶ παῤῥησίαν τὴν ἀναισχυντίαν προςαγορεύουσι. Καὶ ὁ μὲν λωποδύτης τὸ φωραθῆναι δειμαίνει, ὁ δὲ πλεονέκτης προφανῶς λωποδυτεῖ, καὶ τοιχωρυχεῖ (2), καὶ τὰ τοῦ πέλας ἀφαιρεῖται, καὶ οἰκεῖα καλεῖ τὰ μηδαμόθεν (3) προςήκοντα. Διὰ ταῦτα κἀγὼ ἀνιῶμαι, καὶ θάνατον ἱμείρομαι, καὶ τῆς παρούσης ἀπαλλαγῆναι γλίχομαι βιοτῆς· στέργω δὲ ὅμως τὰ τῷ Θεῷ δοκοῦντα, καὶ τῶν σοφῶν αὐτοῦ πηδαλίων ἀγαπῶ τὰ κινήματα, καὶ φέρομαι ᾗ (4) ἂν φέρῃ. Παρακαλῶ δὲ καὶ σὲ γενναίως φέρειν τὰ λυπηρὰ, καὶ μεμνῆσθαι τῶν τοῦ Δημοσθένους ῥημάτων: *Δεῖ γάρ*, φησί (5), *τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασι τοῖς καλοῖς, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέρειν δὲ ἃ ἂν ὁ Θεὸς διδῷ*

(1) Τὸ χειρόγρ.: *Κωλύσαι.*
(2) Ὡςαύτ.: *Τοιχορυχεῖ.*
(3) Ἴσως ἐξέπεσεν ἐντεῦθεν ἡ λέξις: *Αὐτῷ.*
(4) Τὸ χειρόγρ.: *Ἤ.*
(5) Περὶ τοῦ στεφ. §. 97.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

γενναίως. Τοιαῦτα δὲ καὶ ὁ Θουκυδίδης πρὸ τούτου συνέγραψε: *Φέρειν γάρ*, φησί (1), *τά τε δαιμόνια ἀναγκαίως, τά τε ἀπὸ τῶν πολεμίων ἀνδρείως*. Ταῦτα τῆς σῆς, ὦ ἄριστε, γλώττης προφέρειν. Ἡμεῖς δὲ τοῖς τῶν ἁλιέων συγγράμμασιν ἐντραφέντες, ἃ παρ' (2) ἐκείνων μεμαθήκαμεν δυνάμεθα φθέγγεσθαι. Λόγοι δέ εἰσιν, εὐτελὲς μὲν τὸ ἔλυτρον ἔχοντες, ἀπ[όῤῥητον ;] δὲ καὶ μυστικὸν τῶν νοημάτων τὸν θησαυρόν. Τὴν πρὸς τὸν μεγαλοπρεπέστατον στρατηγὸν ποιήσας ἐπιστολὴν πέπομφα τῇ σῇ παιδεύσει.

## ΙΓ'.

### Ὀλυμπίῳ Γερμανικῷ.

Εἰ μή σου τῷ κάλλει τῆς ψυχῆς ἡ τοῦ δόγματος ἐλυμήνατο πρόληψις, καὶ τὸ ὀπτικὸν τοῦ εὐθέος παρατρέψασα ἑτέρωσε πεποίηκε φέρεσθαι, πασῶν ἀρίστην τῶν ἐν βίῳ ἀναστρεφομένων ἔφην ἂν τεθεᾶσθαι. Οὕτως εἷλέ με τῶν σῶν ἠθῶν ἡ γλυκύτης. Ἀλλ' ἄχθομαι, καὶ λίαν ἄχθομαι τηλικαύτην ἀρετὴν κεφαλῆς δεομένην ὁρῶν, καὶ τοσοῦτον κάλλος οἰκοδομίας ἐπὶ σφαλερᾶς κρηπῖδος θεώμενος κείμενον. Εὔφρανον τοιγαροῦν ἡμᾶς, ὦ θαυμάσιε, καὶ μεγίστην ἡμῖν σχεδίασον ἑορτήν, τὴν τῆς ὑποβάθρας ἐναλλαγὴν ποιησάμενος, καὶ τὴν ἀλήθειαν τοῦ ψεύδους ἀνταλλαξάμενος, καὶ τῶν τῆς ψυχῆς ὀφθαλμῶν τὴν εὐθύτητα κατάρτισον, καθαρότητα προσλαβών. Ἑρμῆν δὲ καὶ Μούσας, οὓς τοῖς γράμμασιν ἐντέθεικας σὺν Εὐνομίῳ, πόῤῥω που τῶν ἱερῶν ἐξόρισον λόγων. Οὐ γὰρ πρέπει γλώσσαις εὐσεβεῖν δεδιδαγμέναις δαιμόνων προφέρειν λαοπλάνων ὀνόματα. *Τίς γάρ*, φησὶν ὁ ἱερὸς Ἀπόστολος (3), *συμφώνησις Χριστῷ πρὸς Βελίαρ ; ἢ τίς μερὶς πιστῷ μετ' ἀπίστου ; ἢ τίς συγκατάθεσις ναῷ Θεοῦ μετὰ*

(1) Βιβλ. Β', ξδ'. Τὰς δ' αὐτὰς τοῦ Θουκυδίδου καὶ Δημοσθένους χρήσεις ἐξήνεγκε κἀν τῇ ΚΑ' τῶν ἐκδεδομένων ἐπιστολῶν.

(2) Τὸ χειρόγρ. : *Ἅπερ*.

(3) Β' Κορινθ. ς', 15-16.

*εἰδώλων*; Ταῦτα κηδόμενος γράφω, καὶ τὴν σήν, ὦ φίλη μοι κεφαλή, διψῶν τελειότητα.

## ΙΔ΄.

## Εἰρηναίῳ Κόμητι.

Ἐβουκόλησέ με πρώην, τὴν παρουσίαν τῆς σῆς μεγαλοπρεπείας μηνύσας ὁ θεοφιλέστατος ἀρχιδιάκονος, καὶ τὴν ψυχὴν ἐπλήρωσεν ἡδονῆς, καὶ ταῖς ἐλπίσιν ἐπτέρωσε, καὶ τὰς ὁδοὺς καραδοκεῖν παρεσκεύασε, καὶ τοῦτο μὲν νύκτωρ ὀνειροπολεῖν, τοῦτο δὲ μεθ᾽ἡμέραν φαντάζεσθαι. Οὕτω πᾶσαν τὴν ἁγίαν τεσσαρακοστὴν διετέλεσα, τῆς σῆς προςδοκῶν ἀπολαύσεσθαι συνουσίας· ἀλλὰ τῶν ἐλπίδων ἐψεύσθην, καὶ ὡς ἐν ὀνείρῳ τῆς εὐφροσύνης ἀπέλαυσα. Οὐκ ἂν οὖν αὐτῷ μέμψομαι· κἀν τούτῳ γάρ μοι μεγάλα κεχάρισται. Ἐμοὶ γὰρ μεγίστην φέρεις παραψυχὴν καὶ ὄναρ φερόμενος, ἤ πού γε δὴ μεθ᾽ ἡμέραν φανταζόμενος. Μαθεῖν δὲ ὅλως βούλομαι παρὰ τίνος ἠπάτημαι, οὐχ ἵνα δίκας εἰςπράξωμαι τὸν ἀπατήσαντα, ἀλλ᾽ ἵνα χάριν ὁμολογήσω· οὐ μικρὰ γὰρ ἐκ τῆς ἀπάτης κεκέρδηκα. Εἰ δέ σοι δοκεῖ καὶ τὴν ἀλήθειαν τοῖς εὐαγγελίοις ἐκείνοις χαρίσασθαι, καὶ μή τι τῶν ἀναγκαιοτέρων κωλύει, χάρισαι μὲν σαυτῷ τῶν ἁγίων τὴν εὐλογίαν, ἐμοὶ δὲ τὴν σὴν συνουσίαν, ἣν ἐρασμιωτάτην πάντων ὑπολαμβάνω.

## ΙΕ΄.

## Πρόκλῳ Ἐπισκόπῳ Κωνσταντινουπόλεως (1).

Ἡμεῖς μὲν σμικρὰς καὶ λίαν ἐρήμους πολίχνας οἰκοῦντες, καὶ αὐτὴν πολλάκις τὴν ζωὴν δυςχεραίνομεν, ὑπὸ τῶν προςιόντων καί τινος ἐπικουρίας δεομένων ἀποκναιόμενοι· ἡ δὲ ὑμετέρα ἁγιότης πόλιν οἰκοῦσα, μᾶλλον δὲ πέλαγος ἀ[νθρώπω;]ν ἔχουσαν [καὶ οἰκου;]μένην, καὶ ποταμῶν δίκην τοὺς ἁπανταχόθεν

(1) Φέρεται καὶ ἐν ταῖς ἐκδόσεσιν ἑτέρα πρὸς τοῦτον ἐπιστολή, ἡ ΜΖ΄.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

προςρέοντας εἰςδεχομένην, οὐ μόνον ἐκείνων προμήθειαν ποιεῖσθαι, ἀλλὰ καὶ τῶν κατὰ πᾶσαν τὴν καθ' ἡμᾶς οἰκουμένην· κἂν τις γραμμάτων πρός τινα δεηθῇ, οὐδὲ ἁπλῶς οὕτως, ὡς ἐν ὄχλῳ πραγμάτων ὄντες, ἐπιστέλλειν ἀνέχεσθε (1), οὐ γνησίως μέν, οὐ γλαφυρῶς δὲ οὐδὲ ἀκριβῶς, ἀλλὰ πάντα ὁμοῦ συντρέχει τοῖς γράμμασι, καὶ κάλλος ὀνομάτων, καὶ πλῆθος νοημάτων, καὶ τάξεως ἁρμονία, καὶ τιμὴ τρέφουσα τοὺς δεχομένους τὰ γράμματα, καὶ τῶν ἀγαθῶν ἁπάντων τὸ κάλλιστον, ἡ ἐπανθοῦσα τοῖς λόγοις τοῦ φρονήματος μετριότης. Τοιαύτας δεχόμενοι τῆς ὑμετέρας ἁγιωσύνης ἐπιστολάς, λίαν θαυμάζομεν τὴν ἀποστολικὴν ὑμῶν διάνοιαν, καὶ ὁρῶμεν ὑμῖν ἁρμόττουσαν τὴν θεσπεσίαν ἐκείνην φωνήν (2): *Ἡ καρδία ἡμῶν πεπλάτυνται. Οὐ στενοχωρεῖσθε* (3) *ἐν ἡμῖν*. Οὗ δὴ χάριν τὸν τῶν ὅλων Θεὸν ἱκετεύομεν ἐπὶ πλεῖστον ὑμῶν τὴν ἁγιωσύνην ταῦτα κινεῖν τὰ πηδάλια, ἵν' ἐξ οὐρίων τὸ σκάφος τῆς Ἐκκλησίας ὁδεύῃ. Τὸν μὲν λαμπρότατον καὶ πιστότατον τριβοῦνον Ναυκρατιανὸν ἀγαπῶμεν καὶ διὰ τὴν τῶν ἠθῶν αὐτοῦ καλοκἀγαθίαν, καὶ τὴν πολλὴν ἡμερότητα. Δεξάμενος δὲ τῆς σῆς ἁγιωσύνης τὰ γράμματα διπλῶς τὸν ἄνδρα καὶ φιλῶ, καὶ ἀγαπῶ, καὶ γεραίρω.

## ΙϚ'.

## Νομῳ Ὑπατῳ (4).

Διχῇ μοι μερίζει τὴν γνώμην ἡ περὶ τοῦ γράψαι τῷ ὑμετέρῳ μεγέθει βουλή. Τῶν μὲν γὰρ ὑμετέρων φρενῶν εἰδὼς ἐξηρτημένα τὰ πράγματα, καὶ τὰς κοινὰς ὑμῖν ἐπηρτημένας φροντίδας ὁρῶν, ἄμεινον ἡγοῦμαι σιγᾶν. Τὸ εὐρὺ δὲ πάλιν καὶ πολυχώρητον τῆς ὑμετέρας ἐπιστάμενος διανοίας, σιωπᾶν οὐκ ἀνέχο-

(1) Τὸ χειρόγρ.: *Ἀνέχεσθαι*.
(2) Β' Κορινθ. ϛ', 11-12.
(3) Τὸ χειρόγρ.: *Στενοχωρεῖσθαι*.
(4) Πρὸς τοῦτον ἀποτείνονται καὶ αἱ ἐν ταῖς ἐκδόσεσιν ἕτεραι τρεῖς ἐπιστολαί, ἡ ΝΗ', ΠΑ' καὶ Πϛ'.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



μαι, δεδιὼς μὴ ῥᾳστώνης ὀφλήσω γραφήν. Κεντεῖ δέ με καὶ πόθος, ὃν ἡ βραχεῖα γεῦσις τῆς ὑμετέρας ἐνεποίησε θέας. Ἐμφορηθῆναι γάρ με ταύτης ἐστέρησε τῆς τρισμακαρίας ἐκείνης κεφαλῆς ἡ νόσος· οὗ δὴ χάριν ἐπινοῶ μοι φάρμακον ψυχαγωγίας τὰ γράμματα. Τὸν δὲ τῶν ὅλων ἱκετεύω Δεσπότην ἰθύνειν ὑμῶν τὸν βίον καὶ φέρειν ἐξ οὐρίων ἀεὶ, ἵνα τῆς ὑμετέρας προμηθείας ἀπολαύσωμεν ἅπαντες.

## ΙΖ΄.

### Διονυσιῳ Κομητι Ανατολης.

Ἄρχειν ἑτέρων πολλοὶ μὲν ἐθέλουσιν, ὀλίγοι δὲ ἴσασιν. Καὶ δεῖται μὲν γὰρ ἡ τῶν ἀνθρώπων ἐπιμέλεια ὑπὲρ πᾶσαν τέχνην καὶ ἐπιστήμην φρονήσεως, ταύτῃ ἵνα κοσμούμενος ὁ τούτων ἐπιμελόμενος τὸ πρακτέον εὑρίσκῃ· δεῖται δὲ καὶ σωφροσύνης, καὶ δικαιοσύνης, ἵνα τὸ ὑπὲρ ἐκείνης εὑρεθέν, ὑπὸ τούτων κυρωθὲν ἔργον γένηται, καὶ μὴ ταῖς ἐναντίαις διαφθαρῇ διαθέσεσιν. Οὗ δὴ χάριν καὶ τῆς ἀνδρείας, καὶ τῆς φρονήσεως δέεται ὁ τοιοῦτος· αὕτη γὰρ τὴν ἀντίπαλον διασκεδάννυσι φάλαγγα. Τούτοις ἡ σὴ κοσμουμένη μεγαλοπρέπεια, τῆς ἀρχῆς τὴν ἐπιστήμην κατώρθωσε, [καὶ;], εἴ περ προςῆ[κον;], τὸ τούτων κεφάλαιον ἡ εὐσέβεια· σιγῆσαι γὰρ οὐκ ἀνέχομαι, συνήθης γεγενημένος, ἀλλὰ τὰ μέγιστα εἰσηγήσομαι. Οὐκ ἂν ἴσχυσεν ὁ μῶμος τὴν γοῦν τυχοῦσαν λοιδορίαν ὑφῆναι. Ἀλλὰ περὶ μὲν τούτου μακροτέρας μοι δεῖ διαλέξεως. Νῦν δέ σου παρακαλῶ τὸ μέγεθος εἰς καιρὸν χρήσασθαι τῇ τε περὶ τοὺς ἀρχομένους καλοκἀγαθίᾳ καὶ τῇ περὶ τὰ κοινὰ κηδεμονίᾳ, καὶ στῆσαι τὴν Κῦρον, πολλῶν λαμπρῶν καὶ περιφανῶν πόλεων τοῖς δημοσίοις οὖσαν χρησιμωτέραν. Πολλαπλάσια γὰρ ἐκείνων εἰςφέρει, καὶ οὐκ ἔστι δικαία πάρεργον γενέσθαι συκοφαντίας, ἣ (1) διὰ τὴν χάριν αὐτίκα δὴ μάλα δειχθήσεται. Κατέλαβε γὰρ τὴν βασι-

(1) Γραπτ. ἴσως: Ἡ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

λίδα ὁ θαυμάσιος ἡμῶν (1) υἱὸς Φίλιππος καὶ διδάξει τὴν ὑψηλοτάτην ἀρχὴν τῆς πόλεως τὰ παθήματα, καὶ λήψεται πάντως ἀλεξίκακα φάρμακα, τὸν ἐπηρτημένον διαλύοντα κίνδυνον. Διά τοι τοῦτο μικρὰν ἀναβολὴν ἐπαγγέλλω· ἐλπίζομεν γάρ, ὡς τὸ ζοφῶδες τοῦτο καὶ τετριγὸς νέφος ὁ φιλάνθρωπος ἡμῶν ὅτι τάχιστα διασκεδάσει δεσπότης.

## ΙΗ΄.

### Ἀρεοβίνδῳ (2) Στρατηλάτῃ.

Ἡνίκα μὲν τὸν μονήρη μετῄειν βίον πάντων ὁμοῦ προηρούμην τὴν ἡσυχίαν· τοῦτο γὰρ ὁ ἐκείνου τοῦ βίου παρακελεύεται νόμος. Ἐπειδὴ δὲ ἀνάξιον ὄντα με, ψυχὰς ποιμαίνειν ἐκέλευσεν ὁ Θεός, ἀναγκάζομαι καὶ παρὰ γνώμην πολλάκις ἐπιμελεῖσθαι πραγμάτων, ὧν ἡ φροντὶς ἀν[ιαρ]ὰ μὲν ἐμοί, ἔννομος δὲ, τοῖς χρωμένοις ὠφέλιμος· ὁ γὰρ ἀποστολικὸς νόμος βοᾷ (3): *Εἰ πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη*· καὶ πάλιν ὁ (4) προϊστάμενος, ἐν σπουδῇ τούτοις δουλεύων τοῖς νόμοις, τὴν ὑμετέ-

(1) Οὕτως ἔτρεψα τὸ ἐν τῷ χειρογράφῳ : *Ὑμῶν*, ὅπως ἀπαντᾷ κἀν ταῖς ἐπιστολαῖς Κ΄ καὶ Μ΄.

(2) Τὸ χειρόγραφον ἔχει: *ἀρεοβίν.* (δ), ὅπερ ἀναγνωστέον: *Ἀρεοβίνδῳ*. Ἡμαρτημένη δ' ἐστὶν ἡ ἀνάγνωσις: *Ἀρεοβίνδᾳ*, ὡς ἐπιγράφεται ἐν ταῖς ἐκδόσεσιν ἡ ΚΓ΄ ἑτέρα ἐπιστολὴ τοῦ Θεοδωρήτου πρὸς αὐτὸν τοῦτον, πατρίκιον ὄντα τῷ τότε. Τοῦτον ὁ αὐτοκράτωρ Θεοδόσιος ὁ Β΄ ἐξέπεμψε μετὰ καὶ ἄλλων τεσσάρων στρατηγῶν κατὰ Γιζερίχου τοῦ τῶν Οὐανδήλων βασιλέως καὶ Ἀττίλα τοῦ τῶν Οὔννων [Θεοφ. Χρονογρ. σελ. 87-8.—Χρον. Πασχάλ. σελ. 321]. Ἔγγονος δ' αὐτοῦ ἦν καὶ ὁ τῆς Ἀνατολῆς στρατηλάτης Ἀρεόβινδος ὁ Δαγαλαΐφου υἱός, ὃν ὁ αὐτοκράτωρ Ἀναστάσιος ὁ Δίκορος κατὰ Περσῶν ἐξέπεμψεν [Θεοφ. αὐτ. σελ. 125.—Μαλαλ. Ις΄, σελ. 518]. Ἀλλὰ καὶ ὁ τοῦ Ἰουστινιανοῦ ἐπ' ἀδελφιδῇ κηδεστὴς Ἀρεόβινδος, οὗ Προκόπιος πολλαχοῦ τῆς ἱστορίας αὐτοῦ μέμνηται, ἦν ἀναμφιβόλως ἐκ τοῦ αὐτοῦ γένους. Τοῦ δευτέρου δὲ τούτων τὰ ἐν Κωνσταντινουπόλει μέγαρα: *Τὰ Ἀρεοβίνδου* λεγόμενα, εἰς ναὸν τῆς Θεοτόκου μετεποιήθησαν ὑπὸ Ἰουστίνου τοῦ Θρᾳκός, μετέπειτα δὲ καὶ λοῦμα (βαλανεῖον) ἐκτίσθη αὐτόθι. [Ἴδε Κωδιν. *Περὶ κτισμ. Κωνσταντινουπ.* σελ. 92 καὶ τὰς αὐτόθι σημειώσεις τοῦ Μεουρσίου καὶ Λαμβεκίου].

(3) Α΄ Κορινθ. ιβ΄, 26.

(4) Γραπτ. ἴσως: *Ὡς*.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ραν διὰ γραμμάτων μεγαλοφυΐαν προσφθέγγομαι (1), καὶ τὸ Σεργιθέον χωρίον (τῆς ἐνορίας δὲ τοῦτο τῆς ἡμετέρας ἐστίν), ὑπὸ τὴν ὑμετέραν ἐξουσίαν τελοῦν, ἀπολαῦσαι φιλανθρωπίας ἀντιβολῶ. Τρύχει γὰρ τοὺς τοῦτο γεωργοῦντας ὁ τοῦ ἐλαίου κανών, ὃν εἰςπράττονται, μήτε πέρυσιν, μήτε τῆτες τῆς γῆς τεκούσης καρπόν, ἢ λίαν ὀλίγιστον. Πρέπει δὲ ὑμῖν, συνέσει λαμπρυνομένοις, ᾗ καὶ τὴν ἀνδρείαν κοσμεῖτε, τὰ θεόθεν χορηγούμενα παρὰ τῶν γηπόνων, κἂν ἐπίσχῃ ποτὲ τῶν καρπῶν τὴν φοράν, φειδοῦς ἀξιοῦν τοὺς τὴν γῆν ἐργαζομένους, τὴν ὡρισμένην πρόσοδον ἀποδοῦναι μὴ δυναμένους· οὐδὲ γὰρ οἱ κρουνοὶ προςφέρειν δύνανται τῶν ὑδάτων τὰ νάματα, παρὰ τῶν πηγῶν μὴ δεχόμενοι. Ταύτην ἡμεῖς προςφέρομεν τὴν παράκλησιν, ὑπὸ τῶν γεωργῶν πολλάκις ἐνοχληθέντες. Ἡ δὲ ὑμετέρα μεγαλοπρέπεια τὸ πρακτέον σκοπήσασα καὶ τὸ εἰκὸς ἐν τοῖς εἰρημένοις, εὖ οἶδ' ὅτι μεταδώσει φιλανθρωπίας, ἅτε δὴ ταύτης παρὰ τοῦ Θεοῦ τῶν ὅλων ποθοῦσα τυχεῖν.

## ΙΘ΄.

## Κωνσταντίνῳ ἀπὸ Ὑπάρχων.

Διεκόσμησε μὲν τῷ λόγῳ τῶν ἀνθρώπων τὴν φύσιν ὁ τῶν ὅλων Θεός· οὗ δὴ χάριν καὶ αὐτὴ καθ' ἑαυτὴν τὸ δέον εὑρίσκει· καὶ μάρτυρες οἱ πάλαι γενόμενοι, παρ' ἑτέρων μὲν οὐ δεξάμενοι νόμους, αὐτοὶ δὲ νόμους εὑρόντες, καὶ τὴν λογικοῖς ἁρμόττουσαν πολιτείαν εἰςενεγκόντες. Εἰ δέ τις πρὸς τῇ φύσει καὶ παιδείαν προςλάβοι, καὶ τοῖς ἑτέρων πόνοις ἐπιμελῶς ἐντραφείη, οἷόν τινα ὕλην προςφέρει τὴν παντοδαπὴ διδασκαλίαν τῇ φύσει. Ἡ δὲ ἀποκρίνει μὲν τὰ περιττὰ ὡς ἐπιστήμων, τὰ δὲ ὀνησιφόρα δέχεται καὶ κατασκευάζει τὰ ἀξιέραστα τῆς ἀρετῆς ἀγάλματα· οὔτε γὰρ παρὰ τῶν ποιητῶν, οὔτε παρὰ τῶν φιλοσόφων, οὔτε μὴν παρὰ τῶν ἄλλων λογογράφων ἁπλῶς (2) καὶ ὡς ἔτυχε δέ-

(1) Τὸ χειρόγρ. : *Προσφέγγομαι.*
(2) Ὡςαύτ. : *Ἁπαλῶς.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

χεται τὰ μαθήματα, ἀλλὰ τὴν μέλιτταν μιμουμένη, τὸ μὲν χρειῶδες συλλέγει, τὸ δὲ περιττὸν χαίρειν ἐᾷ. Τοῦτον ἡ ὑμετέρα μεγαλοπρέπεια τὸν βίον ἀσπαζομένη ηὔξησε τὸν ἐντεθέντα τῇ φύσει λόγον, μᾶλλον δὲ τοῦτον κρυπτόμενον ἔδειξεν· ὑποβρύχιον γὰρ αὐτὸν τὰ πάθη ποιεῖ, ἀλλ' ὅτ' ἂν ἐπιτύχῃ πτερῶν, ὑπερνήχεται καὶ ἀναδύνει, καὶ ὡς ἐν φωτὶ πολιτεύεται. Τούτου ἕνεκα διαφερόντως τὴν ὑμετέραν μεγαλοφυΐαν ὑπὲρ τῶν προμηθείας δεομένων ἀντιβολῶ· λογικώτερον γὰρ κινουμένη μετὰ πλείονος αὐτῶν προθυμίας ἐπιμελεῖται. Ταύτης ἀπολαῦσαι τῆς κηδεμονίας παρακαλῶ καὶ τὸν θαυμασιώτατον καὶ λαμπρότατον Διονύσιον, ἄρξαντα μὲν οὐ κατὰ γνώμην, πενίᾳ δὲ συζῶντα, ἐπιεικῆ δὲ καὶ μέτριον ἀσπαζόμενον βίον, εἰςπραττόμενον δὲ ἃ μηδὲ δοῦλος ἀντ' ἐλευθέρου γενόμενος δυνήσετ' ἂν ἀποδοῦναι. Εἰ δὲ καὶ τῶν οἰκείων συμφορῶν ἐπιτραπείη διδάξαι τὴν τραγῳδίαν (ἐπιτρέψετε δὲ πάντως, ἡμερότητι λαμπρυνόμενοι), οἴκτου καὶ φειδοῦς ἀπολαύσεται οὐ παρ' ὑμῶν μόνον τῶν προχείρων εἰς ἔλεον, ἀλλὰ καὶ τῶν παρὰ τἀναντία προαιρουμένων. Οὕτως ἐλεεινὸν τῶν τούτου παθημάτων τὸ δρᾶμα.

## Κ'.

## Πρόκλῳ Ἐπισκόπῳ Κωνσταντινουπόλεως.

Καὶ δι' ἑτέρων μὲν γραμμάτων τῇ (1) σῆς ἁγιότητος προςήγαγον δεξιᾷ τὸν μεγαλοπρεπέστατον ἡμῶν υἱὸν Φίλιππον, καὶ τῆς σῆς αὐτὸν ἀπολαῦσαι προμηθείας ἱκέτευσα· προςθεῖναι δὲ τῇ προτέρᾳ δευτέραν ἐπιστολὴν ὁ θεοφιλέστατος καὶ ἁγιώτατος προςέταξεν ἄνθρωπος τοῦ Θεοῦ, ὁ κῦρις Ἰάκωβος, παρεγγυήσας καὶ τοῦτο προςθεῖναι τοῖς γράμμασι, καὶ διδάξαι σου τὴν ἁγιωσύνην, ὡς καὶ αὐτὸς δι' ἡμῶν τὴν χάριν αἰτεῖ. Ὁ δὲ τῷ Θεῷ διὰ τὴν τῆς ἀρετῆς ὑπερβολὴν ἀξιέραστος, καὶ τῆς τοῦ

(1) Γραπτ. ἴσως: Τῇ τῆς.



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



Θεοῦ δήπουθεν(1) ἀξιάγαστος, διαφερόντως δὲ τῇ σῇ ὁσιότητι· ἣ καὶ γράμμασι πρώην αὐτὸν ἐψυχαγώγησε, καὶ πολλαῖς ἐταινίωσεν εὐφημίαις. Διὰ ταύτην τοίνυν τὴν ἱερὰν καὶ φιλτάτην τῷ Θεῷ κεφαλήν, ἀπολαυσάτω τῆς ὑμετέρας κηδεμονίας, καὶ σωθήτω τῇ πόλει τῇ ἡμετέρᾳ τὸ σχῆμα.

## ΚΑ΄.

### Εὐσεβίῳ Ἐπισκόπῳ [Νι]και[ας;].

Εἰ τοὺς θείους ἐφύλαττε νόμους τῶν ἀνθρώπων ἡ φύσις, μονίμων ἂν καὶ διαρκῶν ἀπήλαυσεν ἀγαθῶν. Ἐπειδὴ δὲ τῆς εὐθείας ἐξετράπημεν τρίβου, καὶ τῶν θείων κατεφρονήσαμεν ἐντολῶν, ἀναγκαίως ὀδυνηρῷ προςεκληρώθημεν βίῳ, ἵνα τῶν λυπηρῶν τὰς αἰτίας ἀνερευνῶντες, καὶ μητέρα τούτων τὴν ἁμαρτίαν εὑρίσκοντες, φεύγωμεν μὲν ταύτην ὡς πολεμίαν, τοὺς δὲ θείους ἀσπαζώμεθα νόμους. Τούτου δὴ χάριν οὐ μόνον τινὲς τῶν ἀνθρώπων τῆς εὐκληρίας ἐκπίπτουσιν, ἀλλὰ καὶ πόλεις, καὶ ἔθνη τὴν εὐπραξίαν ἀποβάλλουσι, καὶ εἰς ἐσχάτην μεταπίπτουσι δυςκληρίαν. Τοῦτο δὴ πέπονθε καὶ ἡ πάλαι Λιβύη, νῦν δὲ Ἀφρικὴ (2) καλουμένη· πάντων γὰρ οὖσα πλήρης τῶν ἀγαθῶν, ἔρημος τούτων ἐξαπίνης ἐγένετο. Ἄγουσι δὲ ταύτην καὶ φέρουσιν ἄνδρες ἥμερον μὲν οὐδὲν ἔχοντες, ὠμότητι δὲ καὶ θηριωδίᾳ συζῶντες· οὗ δὴ χάριν οἱ πλεῖστοι τῶν θεοφιλεστάτων ἐπισκόπων τὴν ξένην ἀντὶ τῆς πατρίδος προείλοντο, παραψυχὴν ἔχοντες τὴν εἰς Θεὸν ἐλπίδα, καὶ πρόσοδον τῆς ἀναγκαίας τοῦ σώματος χρείας τῶν θεοφιλῶν ἀνδρῶν τὰς χεῖρας. Εἷς τούτων ἐστὶν ὁ θεοφιλέστατος ἐπίσκοπος, ὁ κύριος Φλωρέντιος· ὃς τὴν μεγί-

(1) Ἐκπεσεῖν τι ἔοικεν ἐκ τοῦ λόγου.

(2) Τὸ χειρόγρ.: *Ἀφρκή*. Ὁ δ' ἀντιγραφεὺς παρεπέγραψε κατὰ μῆκος τὰς ὤας: *Σημείωσαι ὅλον, ὅτι ἡ νῦν Ἀφρικὴ πάλαι Λιβύη ἐκαλεῖτο*. Οὕτω δὲ καὶ ἐν τῇ *Ἑρμηνείᾳ τοῦ Ἐζεκιὴλ* [κεφ. κζ΄, ιϐ΄] φησί: *μητρόπολις δέ ἐστιν [ἡ Καρχηδὼν] τῆς πάλαι μὲν Λιβύης, νῦν δὲ Ἀφρικῆς ὀνομαζομένης*.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

στην μὲν πόλιν καταλαβεῖν ἐπείγεται, διὰ δὲ τῆς σῆς ἁγιότητος τὴν πορείαν ποιεῖται· καὶ οἶδ' ὅτι λιμένι προσορμισθήσεται εὐόρμῳ τε καὶ εὐστόμῳ, καὶ ἀπηνέμῳ, καὶ πλήρει (1) παντοδαπῶν ἀγαθῶν. Ἐγὼ δὲ αὐτοῦ πρὸς ὀλίγον τῆς συνουσίας ἀπολαύσας, ἀπωνάμην καὶ τῆς σῆς [σεμ]νότητος προσρήσεις, ἣν περὶ πολλοῦ ποιοῦμαι, καὶ ἅμα πέμπειν ἐπείγομαι, καὶ θυμηδίαν ἐξ αὐτῆς ποριζόμενος, καὶ εἰς τὰς ὑπὲρ ἐμοῦ εὐχὰς τὸν ἀξιόχρεων πρεσβύτην διεγείρων.

## ΚΒ΄.

### Αεριῳ Σοφιστῃ.

Πάλαι μὲν Ἀθηναῖοι τὰς σικελικὰς ἀπωδύροντο συμφοράς· τὰς δὲ Λιβύης καὶ Καρχηδόνος (2) ὁ παρὼν ἐβλάστησε χρόνος. Ἀνιαρότεραι δὲ αὗται καὶ πολλῷ χαλεπώτεραι. Βαρβαρικὴ αὐτὰς ὠμότης καὶ θρασύτης ἐπήνεγκεν. Τούτων καὶ ὁ εὐγενέστατος γεγένηται Μαξιμιανός, καὶ τραγῳδῶν τὰ παθήματα κεντεῖ τοὺς ἀκούοντας καὶ τῶν δακρύων ὀχετεῖ (3) τὴν λιβάδα. Μεμαρτύρηκε δὲ τοῖς παρ' αὐτοῦ λεγομένοις ἀλήθειαν ὁ θεοφιλέστατος καὶ ὁσιώτατος ἐπίσκοπος, ὁ κῦρις Ἰουβενάλιος, γράμμασι τὴν μαρτυρίαν ἐνθείς. Ἀπολαυσάτω τοίνυν τῆς Ἀλκινόου φιλοξενίας, ἐπεὶ καὶ οὗτος πολλὰς τρικυμίας διέφυγε. Χαλεπὰ γὰρ καὶ τὰ τῆς ἠπείρου ναυάγια.

(1) Τὸ χειρόγρ.: *Πλήρη*.

(2) Κἀνταῦθα παρεπέγραψεν ὁ ἀντιγραφεύς: *Σημείωσαι ὅλον περὶ Λιβύης καὶ Καρχηδόνος. Φαίνεται δὲ ἐν ταῖς ἡμέραις αὐτοῦ ταύτας πολιορκηθῆναι*. Σημειωτέον δέ, ὅτι ἡ διαπεραίωσις τῶν Οὐανδήλων ἐξ Ἱσπανίας εἰς Λιβύην καὶ τῆς Καρχηδόνος ἡ ἐκπόρθησις ὑπ' αὐτῶν τίθεται ὑπὸ τῶν χρονογράφων μεταξὺ τοῦ 425-28 ἔτους. Γέγραπται ἄρα ἡ ἐπιστολὴ μικρῷ μετὰ ταῦτα.

(3) Γραπτ. ἴσως: *Ὀχετεύει*.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



## ΚΓ΄.

### Ισοκασιῳ Σοφιστῃ (1).

Πρὸς τοὺς ἀττικοὺς ὑμῶν πάλιν τρέχουσι λειμῶνας αἱ ἡμέτεραι μέλιτται, τῇ πείρᾳ μαθοῦσαι τῶν ἀνθέων ἐκείνων τὸ χρήσιμον. Ἐμφορησάτω τοίνυν αὐτὰς ἡ ὑμετέρα παίδευσις τοῦ μέλιτος, καὶ διδαξάτω τὰ κηρία μετ᾽ ἐπιστήμης ὑφαίνειν· ἡ ὑμετέρα γὰρ εὔκλεια τῶν φοιτητῶν ἡ εὐγλωττία. Ἐγὼ δὲ καὶ πλείονος αὐτοὺς ἀπολαῦσαι προμηθείας παρακαλῶ. Βούλομαι γὰρ καὶ τὴν ἡμετέραν πόλιν λαμπρύνεσθαι τοῖς ὑμετέροις καρποῖς.

## ΚΔ΄.

### Τῳ Αυτῳ.

Εἰ πλείους εἶχον υἱεῖς, πλείους ἂν ὑμῖν ἐξέπεμψα φοιτητάς. Οὓς τοίνυν ἔχω, καὶ πέμπω, καὶ τῆς ὑμετέρας παιδεύσεως μεταλαχεῖν ἀξιῶ. Τούτων εἷς ἐστιν ὁ εὐγενέστατος υἱὸς ἡμῶν (2) Θεόδοτος, καὶ τῇ πατρῴᾳ σεμνυνόμενος εὐγενείᾳ, καὶ τρόποις οἰκείοις κοσμούμενος. Καὶ διὰ ταῦτα τοίνυν, καὶ δι᾽ ἐμέ, παρακαλῶ σου τὴν σοφίαν ἀναβαλέσθαι (3) τοῦτο τῆς εὐεργεσίας τὸ εἶδος· εὐεργεσία γάρ ἐστι, κατά γε τὸν τῆς σῆς μεγαλοπρεπείας σκοπόν, εἰ καὶ τοῖς εἰδόσι τὰ τῶν πόλεων πράγματα βλάβη νομίζεται (4). Τοῦτο γὰρ ἡ σὴ ποιοῦσα μεγαλοπρέπεια τὴν πατρικὴν αὖθις δείξει φιλοστοργίαν.

(1) Οὗτός ἐστι πιθανώτατα ὁ αὐτὸς καὶ τῷ παρὰ Θεοφάνει μνημονευομένῳ Ἰσοκασίῳ φιλοσόφῳ καὶ κυαιστωρίῳ, κτήτορι καὶ οἰκήτορι τῆς μεγάλης Ἀντιοχείας· ὃς κατηγορηθεὶς τῷ 467 ἔτει ὡς Ἕλλην (ἐθνικὸς δηλαδὴ) προσήχθη ἐνώπιον τοῦ τῶν πραιτωρίων ἐπάρχου· ὑπὸ δὲ τοῦ τῶν Βυζαντίων δήμου ἀποσπασθεὶς ἀπήχθη εἰς τὴν Μ. Ἐκκλησίαν, ἔνθα κατηχηθεὶς ἐφωτίσθη καὶ ἀπεστάλη εἰς τὴν χώραν αὐτοῦ [Χρονογρ. σελ. 322].

(2) Τὸ χειρόγρ.: *Ὑμῶν*.

(3) Γραπτ.: *Ἀναλαβέσθαι*, ὅπως ἔχει κἀν τῇ Μ΄ ἐπιστολῇ.

(4) Πᾶσα ἡ περίοδος αὕτη φέρεται αὐτολεξεὶ κἀν τῇ Μ΄ ἐπιστολῇ πρὸς τὸν αὐτόν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

## ΚΕ΄.

### Κύρῳ Πρεσβυτέρῳ.

Αἰτηθεὶς πρὸς τὴν σὴν θεοσέβειαν γράμματα παρὰ τοῦ δεῖνος, καὶ τοῦτο ποιήσας, εἰληφέναι μᾶλλον ἢ δεδωκέναι χάριν ᾠήθην· ἄμφω γάρ μοι προςφιλεῖς, καὶ ὁ αἰτήσας, καὶ ἡ σὴ θεοσέβεια πρὸς ὃν ᾔτησεν. Ἐγὼ μὲν οὖν οὕτω διακείμενος γέγραφα· ἡ δὲ σὴ εὐλάβεια καὶ αὐτὸν μεθ' ἡδονῆς θεασάσθω, καὶ ἡμᾶς τοῖς ἀμοιβαίοις εὐφρανάτω. Τούτῳ γὰρ τῷ τρόπῳ τὴν φιλίαν αὐξήσεις.

## ΚϚ΄.

### Ἀρχελάῳ Ἐπισκόπῳ Σελευκείας.

Τέμνειν ἡ θάλαττα τὰς ἠπείρους ἀμφοτέρας νομίζεται, τὸν μέσον τούτων χῶρον κατέχειν διαταχθεῖσα. Ἂν δέ τις τὸ (1) ἀληθὲς ἐρευνῆσαι θελήσῃ, συνάπτει μᾶλλον ἢ τέμνει τὰ πέρατα· ῥᾳδίαν γὰρ τοῖς ἐμπόροις καὶ ταχεῖαν τῶν ἀναγκαίων ποιεῖσθαι τὴν κομιδὴν παρέχουσα, τὴν ἀντίπεραν ἤπειρον τρέχειν ἐνταῦθα παρασκευάζει, καὶ ταύτην πρὸς ἐκείνην ὁρμᾶν, καὶ τὴν ὀθόνην ἐκτείνειν, καὶ κινεῖν τὰ πηδάλια. Εἰ δὲ καὶ ἤπειρος ἦν ἡ θάλασσα, τίς ἂν ἴσχυσε τῶν ἐμπόρων, τοσαύτης ὁδοῦ προκειμένης, ἢ τὸ ἐνδέον ἑκάστῃ χώρᾳ φέρειν, ἢ τὸ περιττὸν ἐκφέρειν; Νῦν δὲ αὕτη τὰ νῶτα τοῖς πλεῖν βουλομένοις παρέχουσα, καὶ τῶν πωλούντων καὶ τῶν ὠνουμένων τὰς χρείας ἀποπληροῖ. Ἐπαινῶ μὲν οὖν καὶ διὰ ταῦτα, ἐπαινῶ δὲ πλέον ὅτι μοι πρόξενος τῶν πρὸς τὴν σὴν ὁσιότητα γραμμάτων γεγένηται, καὶ διὰ τὴν χρείαν ἡμᾶς τῶν ἀναγκαίων παρ' αὐτὴν καλέσασα, παρεσκεύασε τῇ θειοτάτῃ καὶ πάντων ἐμοὶ φιλτάτῃ προσδιαλεχθῆναι κεφαλῇ. Ἐκείνης μὲν οὖν ἔπαινος ἀληθὴς τὸ τῆς σῆς θεοσεβείας γειτόνημα· λιμὴν γὰρ ὑπάρχεις λιμένος,

(1) Τὸ χειρόγρ.: *Τά*.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τοὺς ἐν αὐτῷ τῷ λιμένι χειμαζομένους δεχόμενος, καὶ τῶν τῆς ἀδικίας ἀπαλλάττων κυμάτων. Τῇ δὲ σῇ ὁσιότητι κόσμος οὐχ ὁ λιμήν, ὁ τὰς τῆς οἰκουμένης ὁλκάδας δεχόμενος, ἀλλὰ τὸ χρῆμα τῆς ἀγάπης τῆς θείας.

## ΚΖ΄.

### ΑΝΕΠΙΓΡΑΦΟΣ.

Ἐγὼ μὲν καὶ λόγων λαμπρῶν ἄμοιρος, καὶ ἔργων ἔρημος ἀγαθῶν. Αὐτὸς δὲ φιλίας νόμους πληροῖς, φίλοις ἐπαίνους ὑφαίνων, καὶ τῇ δυνάμει τῶν λόγων τούτους αἴρων εἰς ὕψος, καὶ δεικνὺς πόσην ἔχουσι ῥώμην οἱ λόγοι, ὅτι καὶ τὰ λίαν σμικρὰ μεγάλα δεικνύειν ἰσχύουσιν· ὧν τὸ κάλλος καὶ τὸ κράτος πανταχόθεν συναγαγών, τοὺς τούτων προςφέρεις καρπούς, νῦν μὲν ἐν συνουσίαις διαλεγόμενος, νῦν δὲ διὰ γραμμάτων φθεγγόμενος, καὶ τὴν ἀττικὴν εὐγλωττίαν τιθεὶς ἐν τοῖς γράμμασι, καὶ πλέον τῇ τῶν λόγων ἡδονῇ τοὺς ἐντυγχάνοντας θέλγων ἢ αἱ τοῦ μύθου Σειρῆνες τὸν Ὀδυσσέα ταῖς ᾠδαῖς κατεκήλησαν. Καὶ ταῦτα γράφω πείρᾳ μᾶλλον ἢ φήμῃ πιστεύων· καὶ γὰρ τὰ ὦτα διαλεγομένῳ σοι πολλάκις ὑπέσχον, καὶ νῦν ἐν τοῖς γράμμασιν ὃν ᾔδειν ἐθεασάμην, καὶ χάριν πολλὴν ὡμολόγησα τῷ αἰδεσιμωτάτῳ Φασγανίῳ, τοιαύτην μοι λόγων εὐωχίαν κομίσαντι, καὶ εὐγνώμων περὶ τήνδε τὴν εὐεργεσίαν γεγένημαι. Ἃ γὰρ ἐπήγγειλεν ἀσμένως ἐπήκουσα· εἰ δὲ καὶ πέρας ἔλαβε καταθύμιον, ὅπερ αὐτὸν ἤγαγεν ὡς ἡμᾶς, τῆς αὐτοῦ σπουδῆς ἔργον τοῦτο νομιζέσθω καὶ ἐμμελείας. Ἡ δὲ σὴ ἀρετὴ συχνῶς ἡμῖν γραφέτω καὶ ἡδονὴν προξενείτω.

## ΚΗ΄.

### ΘΕΟΔΟΤῼ ΕΠΙΣΚΟΠῼ ΑΝΤΙΟΧΕΙΑΣ (1).

Ἔστιν ἄρα καὶ παρὰ τῶν ἀδικεῖν ἐπιχειρούντων εὐεργεσίας

(1) Τοῦτον ὀνομάζει ἐν τῇ *Ἐκκλησιαστικῇ* αὐτοῦ *Ἱστορίᾳ* [Ε΄,λζ΄]: *μαργαρίτην τῆς σωφροσύνης, πραότητι μὲν διαπρέποντα, ἀκριβείᾳ δὲ βίου κοσμούμενον.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ἀπόλαυσις μεγίστη, καὶ τούτου μοι γέγονεν ἡ πεῖρα διδάσκαλος· πλείονα γὰρ χρόνον τὴν (1) Ἀντιοχέων ἐνδιατρίψας, τῆς ἀδικίας χάριν ἐκείνης ἀναγκασθείς, πλουσίως τοῦ τῆς σῆς ὁσιότητος ἀπέλαυσα μέλιτος, καὶ ἔγνων σαφέστερον ὅσων ἀγαθῶν πρόξενος ἡ τῆς σῆς ὁσιότητος συνουσία. Ἐνίκα γὰρ τὸν κατὰ τῆς ἀδικίας πόνον ἡ τῆς σῆς θέας παραψυχή, καὶ ἐσύλα τὴν ὀδύνην ἡ τῆς σῆς γλυκύτητος ἡδονή. Ἄληστον τοίνυν τῆς περὶ ἡμᾶς σου φιλοστοργίας . . . . . . . . . . . . . . . . . .

(Λείπει τὰ ἑξῆς, ἑνὸς μόνον φύλλου, ὡς τεκμαιρόμεθα, ἐκρυέντος, ἐν ᾧ καὶ τῆς ἑπομένης ἡ ἀρχὴ ὑπῆρχεν.)

## ΚΘ΄.

. . . . . . . . . . . . . . . . . . . .

ἔλαβεν ἐξουσίαν καὶ τῶν ὑπάρχων πρῶτος ἀναγορευθείς, ἀλλ᾽ ὅτι σοφίας γέμων ἀνήρ, εὐεργετεῖν ἐπιστάμενος, τιμῶν ἀρετήν, ἄρχειν εἰδώς, ἀκλινῆ τὰ τῆς δίκης κατέχων στάθμια, ζυγοῦ περὶ τὸ δίκαιον ἀκριβέστερος, ἐλεεῖν τοὺς ἀρχομένους ἐσπουδακώς, φιλανθρωπίᾳ συμβούλῳ κεχρημένος, τὰς πόλεις ἀνεγείρων κειμένας, τὰ τούτων βουλευτήρια ψυχοῤῥαγοῦντα καὶ μόνοις ὀνόμασιν γνωριζόμενα πρὸς ζωὴν ἐπανάγων, τοὺς κεκτημένους καὶ συντελεῖν ἠναγκασμένους καὶ λοιπὸν ἀπειπόντας ψυχαγωγῶν τῇ τῆς ἐξουσίας δυνάμει, καὶ ἁπαξαπλῶς πάντα ποιῶν, ἃ τὸν τῶν ὅλων πρύτανιν θεραπεύει Θεὸν καὶ τὸν πάντων ἡμερώτατον βασιλέα· συμφρονεῖ γὰρ Θεῷ εὐσεβεῖν βεβουλημένος. Διὰ ταῦτα ἡδόμεθα, διὰ ταῦτα ἑορτὴν τὸν βίον νομίζομεν. Ἀλλ᾽ ὁ πάντων ἐξοχώτατος οὐκ ἐξουσίᾳ μόνον, ἀλλὰ καὶ τῇ περὶ τὸ εὐεργετεῖν σπουδῇ, δὸς ἡμῖν πρώτην χάριν, ἣν πρώην ἐπήγγειλα. Γέγραφα γὰρ ἤδη τῷ ὑμετέρῳ μεγέθει, ἔτι τοῦ βασιλέως ὑπαγορεύοντι τοὺς νόμους, ἱκετεύων ἀπαλλαγῆναι τὸν εὐλαβέστατον καὶ θεοφιλέστατον Εὐθάλιον τὸν πρεσβύτερον τοῦ τῆς πραιτούρας (2) τελέσματος, ἄνδρα φιλοσοφίας

(1) Γραπτ. ἴσως : *Τῇ*, ἢ γοῦν : *Εἰς τήν*.

(2) Ἐκ τοῦ λατιν. Prætura, ὅ ἐστι τὸ τοῦ πραίτωρος (στρατηγοῦ ἢ καὶ πολιτικοῦ ἄρχοντος) ἀξίωμα.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ἁπάσης μεστὸν τῆς τε ἐν γράμμασι τῆς τε ἐν πράγμασι, καὶ βραχέα κεκτημένον, μόλις αὐτῷ καὶ οἰκείοις ἀποχρῶντα. Εἰςπραχθῆναι δὲ τοῦτο τὸ τέλος προςέταξεν αὐτὸν ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος τῆς πόλεως ὕπαρχος, ἀγνοῶν ὡς οὐκ ἔστι λαμπρότατος, ἀλλὰ πρεσβύτατος ἀνήρ. Καὶ εἰ λαμπρότατος δὲ ἦν ἔτι, ἀπήλλακτο ἂν τοῦ τοιούτου τέλους, τοῦ τοὺς μεμοριαλίους (1) τετιμηκότος νόμου τοῦτο σαφῶς διαγορεύοντος. Ἀλλὰ δέομαι, καὶ πάλιν δέομαι, καὶ ἀντιβολῶ. Τιμήσατε φιλοσοφίαν· ὕβρεως τὴν ἱερωσύνην ἀπαλλάξατε· ταύτην ἡμῖν χαρίσασθε τὴν ἀτέλειαν. Ῥᾴδιον δὲ ὑμῖν βουληθεῖσι τοῦτο· τοῖς γὰρ ὑμετέροις νεύμασιν ἀκολουθεῖ τὰ πράγματα. Βουλήσεσθε δὲ εὖ οἶδ᾽ ὅτι, καὶ κοινὰς καὶ ἰδίας χάριτας παρέχειν ἐσπουδακότες.

## Λ΄.

## ΜΑΡΑΝᾼ ΣΧΟΛΑΣΤΙΚῼ (2).

Οὐκ οἶδα ὅ,τι σε προσείπω, ἄφιλον ἢ μισόπολιν; Τὸ μὲν γὰρ ἀληθὲς ἀγνοῶ· δυοῖν (3) δὲ θάτερον ὑπονοεῖν με παρασκευάζει, τὸ μηδεμιᾷ τῶν ἑορτῶν πρὸς ἡμᾶς παραγενέσθαι, ἀλλὰ προτιμῆσαι φιλίας καὶ πατρίδος ἀγρόν, καὶ ζεύγη, καὶ σκαπάνας, ἢ τοὺς περὶ χρεῶν καὶ ὅρων ζυγομαχοῦντας καὶ παρὰ τὰ ζυγὰ τῆς σῆς θέοντας ψήφου. Ἐγὼ δὲ λίαν ἀσχάλλω (4), ὑπὸ τῶν ἐκγόνων τὴν πατρίδα ὑβριζομένην θεώμενος, καὶ περιιδεῖν οὐκ ἀνέξομαι. Ἵνα τοίνυν τοιαύτην φύγῃς γραφήν, κατάλαβε τὴν ἐνεγ-

(1) Καὶ τοῦτο ἐκ τοῦ λατιν. Memoriales (Ὑπομνηματογράφοι), περὶ ὧν ἡ ΛΕ΄ Νεαρὰ τοῦ Ἰουστινιανοῦ διαλαμβάνει ταῦτα: «*Περὶ τῶν βοηθῶν τοῦ κοιαίστωρος. Ἡ προκειμένη διάταξις δηλοῖ, ὥς τινες τῶν μεμοριαλίων δύνανται βοηθοὺς ποιεῖν εἰς ἴδιον τόπον. Εἰσὶ δὲ βοηθοὶ εἴκοσι ἕξ, ὧν καὶ οἱ κληρονόμοι τὴν αὐτὴν δικαιοδοσίαν ἔχουσι*». *Κατὰ δὲ τὴν Δουκαγγίου ἑρμηνείαν, ἦσαν οὗτοι ἐν τοῖς δημοσίοις γραμματοφυλακίοις ὑπηρετοῦντες.*

(2) Δύο ἕτεραι ἐπιστολαὶ ἐπιγράφονται πρὸς τοῦτον ἐν ταῖς ἐκδόσεσιν, ἡ ΞΖ΄ καὶ ΡΚΔ΄.

(3) Τὸ χειρόγρ.: *Δυεῖν*.

(4) Τὸ χειρόγρ.: *Ἀσχάλω*.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

χοῦσαν, καὶ ποίησον λαμπροτέραν τῇ (1) παρουσίᾳ· ἄτοπον γὰρ τὸν μὲν ἀγρὸν τῇ σῇ οἰκήσει φαιδρύνεσθαι, τὴν δὲ πόλιν τῇ σῇ ἀποδημίᾳ σμικρύνεσθαι.

## ΛΑ΄.

### Ρωμυλῳ.

Καὶ πατέρες τῶν σωφρονούντων παίδων οἰκειοῦνται τὴν εὔκλειαν, καὶ δεσπόται τῶν εὔνων ἱκετῶν περὶ πολλοῦ ποιοῦνται τὴν θεραπείαν. Εἰ δὲ παρ᾽ ἀνθρώποις τοιοῦτος πολιτεύεται νόμος, ἔνθα φθόνος πολλάκις κρατεῖ, πολλῷ μᾶλλον ἐπὶ Θεοῦ τοῦ ἀγαθοῦ καὶ ἀπαθῶς πάντας εὐεργετεῖν πεφυκότος. Διὸ νῦν μὲν τῷ Ἀβραὰμ λέγει : *Εὐλογήσω τοὺς εὐλογοῦντάς σε* (2), νῦν δὲ τοῖς ἱεροῖς ἀποστόλοις : *Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται* (3). Ἐπειδὴ τοίνυν οἰκείαν ἡγεῖται τὴν τῶν τροφίμων τιμήν, παρακλήθητι, θαυμασιώτατε, τοὺς Προφήτας αὐτοῦ, τοὺς ἁγίους Ἀποστόλους τῇ (4) παρουσίᾳ τιμῆσαι.

## ΛΒ΄.

### Θεοδοτῳ Αρχοντι.

Παιδίοις μὲν ἡ μορμὼ φοβερά, μειρακίοις δὲ παιδαγωγοὶ καὶ διδάσκαλοι, τοῖς δὲ εἰς ἄνδρας τελοῦσιν ἤδη πάντων ἐστὶ φοβερώτατον δικαστής, καὶ βῆμα, καὶ κήρυκες, καὶ ῥαβδοῦχοι, καὶ εἰςπράξεις· ἂν δὲ δὴ καὶ ἀπορία τούτοις προςῇ, διπλοῦν τὸ δέος γίνεται. Τί δήποτε ταῦτα διεξῆλθον, ἐγὼ τὴν σὴν ἀρετὴν διδάξω. Ἐγκαίνια [τῶν] ἀποστολικῶν καὶ προφητικῶν σηκῶν τῇ τεσσαρεςκαιδεκάτῃ Γορπιαίου μηνός (5), Θεοῦ νεύοντος, προς-

(1) Ἐγέγραπτο ἴσως : *Τῇ σῇ*.
(2) Γεν. ιϐ΄, 3.
(3) Ματθ. ι΄, 40.
(4) Γραπτ. ἴσως : *Τῇ σῇ*.
(5) Τοῦ μακεδονικοῦ μηνολογίου ἦν ὁ Γορπιαῖος, ἀντιστοιχῶν τῷ ῥωμαϊκῷ Σεπτεμ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

δοκῶμεν ἐπιτελέσαι. Δεδίασι δὲ τὴν σὴν παρουσίαν οἱ παρ ἡμῖν, ὡς ἔφην, πολιτευόμενοι. Δεδίασι δὲ οὐ τὸν πραότατον Θεόδοτον, ἀλλ᾽ ὃ περίκεισαι τῆς ἀρχῆς προςωπεῖον· οὗ χωρίς, πολλοῦ ἂν ἐπριάμεθα καὶ παρεῖναι ἡμῖν ἑορτάζουσι, καὶ κοινωνεῖν τῆς πανηγύρεως, καὶ τὴν πόλιν κοσμεῖν, καὶ κορυφαῖον εἶναι τῶν συνιόντων. Παρακλήθητι τοίνυν, ὦ ἄριστε, ἱερομηνίᾳ τὸν Γορπιαῖον δοῦναι, καὶ τοῦτον ἀναθεῖναι Θεῷ καὶ τοῖς τοῦ Θεοῦ ἐρασταῖς καὶ ἐρωμένοις. Οὕτω γὰρ καὶ ἀπὼν κοινωνήσεις τῆς πανηγύρεως, ἡσυχίᾳ καὶ ἀνακωχῇ τοὺς ἁγίους Ἀποστόλους καὶ Προφήτας γεραίρων, καὶ τῆς παρ᾽ αὐτῶν εὐλογίας ἀπολαύσεις, καὶ τὸν Θεὸν θεραπεύσεις τὸν τῇ τιμῇ τῶν ἁγίων τερπόμενον, χαριῇ δὲ καὶ ἡμῖν τοῖς εἰρήνην καὶ θυμηδίαν κεχυμένην ἐν τῇ ἑορτῇ ἐκείνῃ ἐφιεμένοις καὶ εὐχομένοις.

## ΛΓ΄.

### Νεωνι Αρχοντι.

Οὗτος ἡγεμονίας ὅρος· αὕτη ἀρχὴ δικαία καὶ συμφέρουσα τοῖς κοινοῖς. Ἡ γὰρ τῶν ἀρχομένων ἐπιμέλεια οὐ τούτους μόνον εὐεργετεῖ, ἀλλὰ καὶ τοὺς τὴν ἀρχὴν ἐγχειρήσαντας ὀνίνησιν ὅτι μάλιστα. Οἱ μὲν γὰρ ἀμέτρως θατέρου μέρους κηδόμενοι, ἑκατέρῳ λυμαίνονται· οἱ δὲ τὸ δραστήριον κεραννύντες, ἡμερότητι καὶ φιλανθρωπίᾳ τῆς πράξεως ἀμβλύνοντες τὸ σφοδρόν, καὶ τὸ μέτρον τιμῶντες, κατὰ τὸν φιλόσοφον ὅρον, οὗτοι καὶ τοὺς εἰςπραττομένους, καὶ τοὺς εἰςπράττειν κελεύοντας ἀτεχνῶς εὐεργετοῦσι. Τοῦτο τὴν σὴν οἶδα ποιοῦσαν λαμπρότητα· ἀγχινοίᾳ γὰρ κυβερνᾷς τὴν ἐξουσίαν, καὶ διὰ τοῦτο πατρικῇ μὲν ἡμερότητι χαίρεις, ἠπίοις δὲ λόγοις κεχρημένος, ἀπηνοῦς παντὸς καὶ πῦρ πνέοντος ἄμεινον τῶν εἰςφορῶν τέως εἰςπράξεις ποιῇ. Αἰσχυνόμενοι γάρ σου τὸ πρᾶον οἱ ἀπαιτούμενοι, τῆς πενίας ἐπι-

ὁρίῳ, κατ᾽ Εὐάγριον [*Ἐκκλησ. Ἱστορ. Β΄, ιϛ΄*], Σουΐδαν καὶ Θεοφάνην Κεραμέα [*Ὁμιλ. Α΄. Εἰς τὴν ἀρχ. τῆς ἰνδίκτου*].

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

λανθανόμενοι, καὶ τῶν εὐτελῶν ῥακίων γυμνοῦνται. Ἀμέλει καὶ τῶν ἐν τοσαύτῃ σπάνει χρυσίου τῶν ὠνίων ἐῤῥιμμένων, οὐδενὸς οὐχ ὑγροῖς οὐ ξηροῖς προςιόντος καρποῖς, κατὰ πέντε, καὶ δέκα, καὶ εἴκοσι δανεισάμενοι χρυσίνους, καὶ τοὺς παρ' ἡμῖν ἱδρυμένους ἀποδύσαντες στρατιώτας ἀπέστειλαν τὸ χρυσίον, ὅσον δοθῆναι προςέταξας. Τοσαῦτα δύναται ἡμερότης κεκραμένη συνέσει· ἀληθὲς γὰρ ἀτεχνῶς ἐκεῖνο τὸ τραγικόν, ὅτι :

Σοφὸν ἓν βούλευμα πολλὰς χεῖρας (1)
νικᾷ . . . . . . . . . . . . . . .

Οὕτω τοίνυν, ὦ ἄριστε, διατελεῖς κυβερνῶν, ἐῤῥῶσθαι πολλὰ τοῖς παροξύνουσι λέγων, καὶ τὴν τῶν κοινῶν προμήθειαν πάντων ὁμοῦ προτιμῶν. Οὕτω γὰρ καὶ τὸν τῶν ὅλων θεραπεύσεις Θεόν, καὶ βασιλεῖ τὰς ἐγχειρισθείσας σοι διασώσεις π[όλεις;], καὶ τὴν εὔκλειαν τὴν παρὰ πάντων τρυγήσεις.

## ΛΔ΄.

### Ἰσοκασίῳ [Σοφιστ]ῇ.

Τ[ὸν] καλὸν καὶ ἀγαθὸν Γερόντιον, ὃς οἶδε μὲν ἄριστα ξύλα τεκταίνειν, ἔμαθε δὲ παρὰ τῆς τέχνης ζώων καὶ δένδρων παντοδαπῶν εἰκόνας ἐνθεῖναι τοῖς ξύλοις, ἔχει δὲ τρόπον νικῶντα κάλλιστον, τὴν ἀρετὴν τῆς τέχνης, ἀπέστειλά σου τῇ μεγαλοπρεπείᾳ, κομιδῇ μὲν αὐτοῦ τῆς τέχνης δεόμενος, τὴν ὑμετέραν δὲ θεραπείαν τῆς ἡμετέρας προτιμήσας χρείας. Μαθὼν γὰρ παρὰ τοῦ λαμπροτάτου Εὐρυκιανοῦ, ὅτι τοῦ ἀνδρὸς εἰς τὴν τῆς οἰκίας ποικιλίαν τὸ μέγεθος δεῖται τὸ σόν, εὐθὺς αὐτὸν πέπομφα τῇ σοφίᾳ τῇ σῇ, ὥςτε τοῖς ἀρίστοις τῶν ὁμοτέχνων ἐγχειρίσαι (2) τοὔργον, καὶ τὴν ταχίστην ἐπανελθεῖν ὡς ἡμᾶς. Ἐπειδὴ

(1) Γραπτ. *Χέρας*. Ἔστι δὲ ἐξ ἀπολωλότος Εὐριπιδείου δράματος, τῆς *Ἀντιόπης* [παρὰ Στοβ. ΝΔ΄, 5].

(2) Τὸ χειρόγρ. : *Ὁμοτεχνῶν ἐγχειρῆσαι.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

τοίνυν ἐν χερσὶν ἔχοντες τὸν ἄνδρα προτετιμήκαμεν τὰ ὑμέτερα, τῆς αὐτῆς τυχεῖν χάριτος ἐπαγγέλλομεν· τευξόμεθα δέ, ἣν ἐπιστήσας τοῖς ὑμετέροις ἔργοις οὓς δεῖ, ὡς τάχιστα ἐπανέλθῃ πρὸς ἡμᾶς.

## ΛΕʹ.

### Αντιοχω απο Υπαρχων (1).

Πολλαχόθεν μὲν καὶ ἄλλοθεν τὴν ὑμετέραν ἐστὶν ἰδεῖν δικαιοκρισίαν· δείκνυσι δὲ ὑμᾶς ὅτι μάλιστα ἡ περὶ τῶν ἀρχόντων ψῆφος, οἷς καὶ τὰ ἔθνη καὶ τὰς πόλεις ἄγειν ἐνεχειρίσατε (2)· κοινὴν γὰρ ἁπάντων τῶν ὑπηκόων κηδεμονίαν ποιούμενοι, τοὺς ἀδωροτάτους καὶ χρημάτων κρεί[ττου]ς καὶ ἴ[σα] κατέχοντας τὰ τῆς δίκης ζυγά, καὶ ἁπαξαπλῶς τοὺς ἀρίστους ἐκλεγόμενοι, οἷόν τινας πατέρας, καὶ ἰατρούς, καὶ κυβερνήτας ταῖς πόλεσιν ἐπεστήσατε. Πολλοῖς μὲν οὖν καὶ ἄλλοις καλοῖς καὶ ἀγαθοῖς ἀνδράσιν ἐντετυχήκαμεν, ἄρχειν ὑπὸ τῆς ὑμετέρας ψήφου λαχοῦσιν, ἀξιάγαστον δὲ μάλιστα καὶ αἰδοῦς ἀξιώτατον εἴδομεν τὸν λαμπρότατον Νέωνα. Καὶ γὰρ πεῖραν αὐτοῦ εἰλήφαμεν πλείονα, ἐπειδὴ καὶ τῆς ἡμετέρας πατρίδος κινεῖν τοὺς οἴακας εἴληχε, καὶ παρὰ πάντα τὸν τῆς ἀρχῆς χρόνον ἐξ οὐρίων φέρεσθαι τὸ σκάφος σοφῶς κυβερνῶν παρεσκεύασεν. Οὗτος νῦν παυσάμενος τῆς ἀρχῆς, αὐτὸς μὲν ἀπηλλάγη θορύβων ὁμοῦ καὶ φροντίδων, ἐγύμνωσε δὲ τοὺς ἀρχομένους πατρικῆς κηδεμονίας· τρέχει δὲ παρὰ τὸ ὑμέτερον μέγεθος, δόξαν ἀντὶ χρημάτων κτησάμενος, καὶ ἐπὶ τῇ θαυμαστῇ καὶ πολλῶν ἐπαίνων ἀξίᾳ λαμπρυνόμενος πενίᾳ. Ἀλλὰ τοῦτον αὖθις ἡμῖν μετὰ τῶν πηδαλίων πέμψατε. Μὴ γὰρ γένοιτο, ἄνδρα εὐεργετεῖν ἐπιστάμενον, τῶν εἰς εὐεργεσίαν σπανίζειν προφάσεων.

(1) Πρὸς τοῦτον ἀποτείνεται καὶ ἡ ἐν ταῖς ἐκδόσεσιν ϞϚʹ ἐπιστολή.

(2) Τὸ χειρόγρ.: *Ἐνεχειρήσατε.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

## ΛϚʹ.

### Δομετιανῷ Κοιαίστωρι.

Δι᾽ αὐτῶν μεμαθήκαμεν τῶν πραγμάτων, ὡς οὐ φύσις, ἀλλὰ γνώμη τῶν ἀνθρώπων ἐν ἀρετῇ καὶ κακίᾳ κρατεῖ. Καὶ οἱ μὲν ἀκολασίαν, οἱ δὲ σωφροσύνην τιμῶσιν, οὐχ ὑπὸ φύσεως, ἀλλ᾽ ὑπὸ προαιρέσεως κυβερνώμενοι. Πολλῶν [γὰ]ρ τὸ ἔ[θνος] τῶν Ἰσαύρων κατηγορούντων, ὡς ἐρῶσι χρημάτων, καὶ φιλόχρυσοι, καὶ τοῦ πλείονος ἐφιέμενοι, εὕρομεν τὸν λαμπρότατον Νέωνα, παρ᾽ ἐκείνης μὲν φύντα καὶ τραφέντα, τὸν πλεονεκτικὸν δὲ βδελυξάμενον (1) βίον, μᾶλλον δὲ οὐ μόνον ἀδίκως τὴν χεῖρα προτεῖναι μὴ ἀνασχόμενον, ἀλλ᾽ οὐδὲ δικαίως κερδάναι προελόμενον, τὰ δὲ οἰκεῖα προέμενον εἰς τὴν τῶν πόλεων ἐπιμέλειαν, καὶ παντὶ μὲν ἀδικουμένῳ τὴν ἀκοὴν ὑποσχόντα, ἀδίκοις δὲ καὶ συκοφάνταις ἀποκλείσαντα τὰς τοῦ δικαστηρίου κιγκλίδας. Τί οὖν ἂν πάθοιεν οἱ τοιαύτης στερηθέντες κηδεμονίας, ἔξεστιν ἐκ τούτων μαθεῖν τὴν ὑμετέραν μεγαλοπρέπειαν.

## ΛΖʹ.

### Ἀνδρέᾳ Ἐπισκόπῳ Σαμοσάτων (2).

Θαυμαστῶς ἡμῖν ἐζωγράφησας, ὦ ἄριστε, τοῖς τῶν λόγων χρησάμενος χρώμασι τὸν θεοφιλέστατον Δαμιανὸν τὸν πρεσβύτερον· τοιοῦτον γὰρ αὐτὸν εἴδομεν, οἷον διὰ τῶν γραμμάτων ἡρμήνευσας. Καὶ ἐγὼ μὲν πεῖραν ἔλαβον τοῦ τρόπου, τοῦ δὲ λόγου ἀπέλαυσεν ὁ λεώς. Ἐμὲ γὰρ ἡ νόσος ἐκώλυσε, μόνον δὲ τῶν ἀκροατῶν ἀκήκοα ὅτι τοιοῦτος ἀνήρ, οἷον ἡ σὴ ὁσιότης ὑπέδειξεν. Ἀλλὰ γεύσας ἡμᾶς, καὶ τανῦν ὑπὲρ ἐκεῖνα μιμησάμενος νέφη ψεκάδας ὀλίγας ἀφίησι, καὶ διψῶντας παρέρχεται. Ἐμὲ

(1) Τὸ χειρόγρ. : *Βδελλυξάμενον*.

(2) Καὶ ἐν ταῖς ἐκδόσεσι φέρονται δύο ἕτεραι πρὸς τοῦτον ἐπιστολαί, ἡ ΚΔʹ καὶ ΡΞΒʹ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

δὲ ἦσεν, ὅτι μοι τῶν πρὸς τὴν σὴν ἁγιότητα γραμμάτων ἐγένετο πρόξενος· καὶ γὰρ ἀσθενῶς διακείμενος, ἐσπούδασα δι' αὐτοῦ προςειπεῖν σου τὴν ὁσιότητα, καὶ εἰς τὴν [ὑπὲρ ἐμοῦ;] προςευχὴν διεγεῖραι.

## ΛΗ'.

### Εὐθαλίῳ Πρεσβυτέρῳ.

Μίαν ἐσχηκὼς παραψυχὴν ἐν τῇδ[ε τῇ] πόλ[ει], τὴν τῆς σῆς θεοσεβείας συνουσίαν, σφόδρα ἠνιάθην, ταύτης ἐν τοσούτῳ μὴ ἀπολαύσας χρόνῳ. Ἀλγῶ δὲ πλέον, ὅτι τῇ ἀδοκήτῳ ταύτῃ ζημίᾳ περιπεπτωκώς, καὶ ἀθυμῶν, ὡς εἰκός, οὐδὲ τὸν ψυχαγωγοῦντα ἔχεις καὶ τὴν ἀθυμίαν ταῖς τοῦ παναγίου Πνεύματος ἐπῳδαῖς ἀπελαύνοντα. Ἀλλ', ὦ θαυμάσιε, γενοῦ σαυτῷ καὶ σύμβουλος, καὶ διδάσκαλος, καὶ ἣν ἐκ παιδὸς μετῆλθες φιλοσοφίαν ἐν τοῖς ἀγῶσιν ἐπίδειξαι,καὶ μαθέτωσαν ἅπαντες, ὡς ἔργῳ μᾶλλον ἢ λόγῳ φιλοσοφεῖς, οὐδὲν μὲν ἡγούμενος τὰ ἀνθρώπινα, πλούτου δὲ ῥεύματα καὶ πενίαν ἐσχάτην ἴσα τιθέμενος. Ἑκάτερον γάρ, ὡς οἶσθα, κατὰ τὴν εὐρίπων ἐπίῤῥοιαν τῇδε κἀκεῖσε πέφυκε μεταβαίνειν, καὶ νῦν μὲν ὡς τοῦτον, νῦν δὲ ὡς ἐκεῖνον εἶναι. Ἀρετὴ δέ, ἧς τρόφιμος ὑπάρχεις, μόνιμόν ἐστιν ἀγαθόν, καὶ χρὴ ταύτην τὸν μὲν κεκτημένον ἀσφαλῶς φυλάττειν, τὸν δὲ οὐκ ἔχοντα σπουδαίως ζητεῖν· χρυσὸν δὲ καὶ τἄλλα ἄνθη τοῦ πλούτου παρόντα μὲν δεόντως οἰκονομεῖν, ἀπόντα δὲ μὴ ποθεῖν. Ταῦτα φιλοσοφῶν διατελεῖς· ταῦτα καὶ ἑτέροις εἰσηγήσω πολλάκις. Μαθέτωσαν τοίνυν οἱ ζητοῦντες, ὡς χρήματα μὲν λαβεῖν [ἰσ]χύουσιν, [ἀρε]τὴν δὲ [συ]λῆσαι οὐ δύνανται πώποτε.

## ΛΘ'.

### Ἀγιανῷ Μονάζοντι.

Τό: *Μηδὲν ἄγαν*, καί: *Μέτρον ἄριστον*, καὶ ὅσα τοιαῦτα

Ακαδημία Αθηνών / Academy of Athens

τοῖς πάλαι σοφοῖς εἴρηται (1), ἐπὶ παντὸς ἡγοῦμαι καλοῦ τε καὶ συμφέροντος· οὐ γὰρ μόνον τὰ ὑψηλὰ καὶ ὑπέρογκα κωλύειν φρονήματα ἐθέλοντες, ταῦτα ἔφασαν οἱ τὴν τῶν ἠθῶν ἀναδεξάμενοι διακόσμησιν, ἀλλὰ καὶ τὰ λίαν ταπεινὰ καὶ πέρα τοῦ μετρίου κάτω που κείμενα ἀνορθοῦντες καὶ τὴν συμμετρίαν διδάσκοντες. Χρὴ τοίνυν σε, δέσποτα, σοφὸν ὄντα καὶ τοὺς ἄλλους σοφίζειν δυνάμενον, καὶ τῶν τοιούτων λόγων πλήρη τυγχάνοντα, καὶ φιλεῖν τὸν πέλας ὡς σεαυτὸν δεδιδαγμένον, μὴ βλάπτειν τοῖς ἐγκωμίοις τοῦ φιλουμένου τὸ φρόνημα, μηδὲ τὰ μὲν αἴρειν εἰς ὕψος καὶ μετεωρίζειν τοῖς λόγοις, ἑαυτὸν δὲ ταπεινοῦν ὑπὲρ τὸ ἄγαν, καὶ τὴν οὐκ ἐπαινουμένην ταύτην ἀμετρίαν αἱρεῖσθαι, μηδὲ τὸ πόθῳ τὴν εὐφημίαν μετρεῖν, ἀλλὰ τὴν ἀλήθειαν προτιμᾶν τῆς φιλίας, καὶ κρύπτειν μὲν τὰς τοῦ φίλου κηλῖδας (ταῦτα γὰρ ὁ τῆς φιλίας νομοθέτης παρεγγυᾷ : *Ἀγάπη*, λέγων (2), *καλύψει πλῆθος ἁμαρτιῶν*), τὰ δὲ φαινόμενα κατορθώματα συμμέτρως θαυμάζειν. Καὶ ταῦτα λέγων, οὐ τὴν σὴν διδάσκω ἀγχίνοιαν, τὴν πάντων μάλιστα τὰ τοιαῦτα πεπαιδευμένην, ἀλλὰ τοὺς ἐμοὺς ἐπαίνους ἀποκρουόμενος· ἀποκναίει [με] γὰρ τούτων τὸ ἕτερον· ἤκουσα [δὲ καὶ] τοῦ Θεοῦ δ[ιὰ τοῦ] προφήτου πρὸς τὸν Ἰσραὴλ λέγοντος (3) : « *Λαός μου, οἱ μακαρίζοντες ὑμᾶς πλανῶσιν ὑμᾶς, καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσι* ». Περὶ μὲν τούτων ταύτην σου τῇ θεοσεβείᾳ τὴν ἱκετείαν προσφέρω· περὶ δὲ τῆς παιδὸς διδάσκω σου τὴν θεοσέβειαν, ὡς κήδομαι μὲν αὐτῆς διὰ τὴν ὀρφανίαν, οὐ μὴν ἐμαυτὸν εἰς τοὺς περὶ μνηστείας καθῆκα λόγους, ἀλλὰ τῇ μητρὶ ταύτης παρεχώρησα τὴν ἐξουσίαν. Παρακαλῶ δέ σου τὴν ὁσιότητα δηλῶσαι ἡμῖν τοῦ μνηστεύσασθαι βουλομένου καὶ τοὔνομα καὶ τὸ γένος (οὐδὲν γὰρ τούτων περιεῖχε τὰ γράμματα), ἵνα καὶ τῇ μη-

(1) Τὸ μὲν τοῦ Πιττακοῦ ἐστιν ἀπόφθεγμα, τὸ δὲ τοῦ Κλεοβούλου.

(2) Οὐκ οἶδα τίνα ὁ λόγος ὑπαινίττεται. Ἐν τῇ Ἰακώβου καθολικῇ ἐπιστολῇ [ε', 20] ἀπαντᾷ τόδε τὸ ῥητόν : *Ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν*. Ἀλλ' ἄσχετον δοκεῖ τοῦτο πρὸς τὴν παρατιθεμένην ἐνταῦθα ῥῆσιν.

(3) Ἠσ. γ', 12.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

τρὶ καὶ τοῖς προςήκουσι τῇ παιδὶ ταῦτα ποιήσω γνώριμα καὶ συμβουλεύσω τὰ δέοντα.

## Μ΄.

## Ἰσοκασίῳ Σοφιστῇ.

Τοὺς παρ' ὑμᾶς φοιτῶντας νέους οὐ μόνον τὴν ἑλλάδα φωνὴν ἐκπαιδεύετε, καὶ τὴν ἀττικὴν εὐγλωττίαν διδάσκετε, ἀλλὰ καὶ τῆς ἄλλης ἀξιοῦτε προμηθείας, τῆς τε τῶν ἠθῶν ἐπιμελόμενοι κοσμιότητος καὶ τὸν βίον πρὸς ἀρετὴν βλέπειν παρασκευάζοντες· πρὸς δὲ τούτοις καὶ τὴν ἄλλην αὐτῶν ποιεῖσθε κηδεμονίαν, τῶν ἀδικεῖν πειρωμένων ἀπαλλάττοντες, τοῖς ὠφελεῖν δυναμένοις συνιστῶντες, καὶ ἁπαξαπλῶς τὰ πατέρων ἐργαζόμενοι· ταῦτα γὰρ ἴδια τῶν καθ' ὑμᾶς τὴν λογικὴν ταύτην σοφίαν ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐμβαλλόντων. Τοιαύτας ἔχει παρὰ τῆς σῆς μεγαλονοίας εὐεργεσίας ὁ εὐγενέστατος καὶ ποθεινότατος υἱὸς ἡμῶν Φίλιππος. Καὶ γὰρ ἡνίκα οἱ περὶ τῆς κηραρχίας (1) ἐνειστήκεισαν ἀγῶνες, τῶν [ἐν]αγωνιζομένων ἦσθα καὶ πᾶν ὁτιοῦν πραττόντων ὑπὲρ τοῦ νέου. Καὶ νῦν δέ, ὡς ἔγνων, πολλὴν ἡ σὴ μεγαλοφυΐα σπουδὴν συνειςήνεγκεν, ὥςτε αὐτὸν μὴ τῶν ἀγομένων καὶ φερομένων ὑπὸ τῶν καλῶν ἡγεμόνων εἶναι, ἀλλὰ τῶν γεραιρομένων καὶ τιμῆς ἀξιουμένων. Καί σοι πολλὰ γένοιτο ἀγαθά, τοιαύτην ποιουμένῳ κηδεμονίαν τῶν πατρὸς ἐστερημένων. Ὑπὲρ μὲν οὖν τούτων καὶ ἡμεῖς χάριν ὁμολογοῦμεν τῇ μεγαλοπρεπείᾳ τῇ σῇ· ἐπειδὴ δὲ τέως αὐτῷ λυμαίνεται τὸ ἀξίωμα (ἀποστερεῖ γὰρ αὐτὸν καὶ τῶν τοῦ βουλευτηρίου πρωτείων, καὶ πάντες οἱ ἐπιτήδειοι πρὸς τοῦτο δυσχεραίνουσι, καὶ ἀπειλοῦσι μηκέτι τῶν πραγμάτων φροντίζειν εἰ τοῦτο γένοιτο), παρακαλῶ σου τὴν σοφίαν ἀναλαβέσθαι τοῦτο τῆς εὐεργεσίας τὸ εἶδος· εὐεργεσία γάρ ἐστι, κατὰ τὸν τῆς σῆς μεγαλοπρεπείας σκοπόν,

(1) Νεοφανὴς ἡ λέξις, καὶ ἡ σημασία αὐτῆς ἔμοιγε οὐν ἄδηλος. Ἀλλ' ἴσως ἦν ἀγώνισμά τι τῆς παιδευομένης νεολαίας, καθ' ὃ ἀπενέμετο τοῖς εὐδοκιμοῦσιν ἡ τιμητικὴ τοῦ *κηράρχου* προςηγορία.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

εἰ καὶ τοῖς εἰδόσι τὰ τῆς πόλεως πράγματα βλάβη νομίζεται. Τοῦτο γὰρ ἡ σὴ ποιοῦσα μεγαλοπρέπεια, τὴν πατρικὴν αὖθις δείξει φιλοστοργίαν.

## ΜΑ΄.

### Θεοδοτῳ Επισκοπῳ Αντιοχειας.

Δέδωκε παισὶν ἡ φύσις εὐκαίρως παῤῥησιάζεσθαι πρὸς πατέρας, καὶ τοῖς οἰκέταις ὁ τῆς δουλείας νόμος, καὶ σιγῇ τὴν δεσποτείαν τιμᾶν, καὶ λαλεῖν πρὸς τοὺς κεκτημένους μετὰ ἀληθείας ἃ δεῖ. Οὗτος καὶ παιδονόμοις καὶ παιδοτρίβαις νόμος, καὶ πᾶσι τοῖς ἄρχειν λαχοῦσιν ἢ τέχνην τινὰ καὶ ἐπιστήμην παιδεύουσι. Τούτῳ θαῤῥῶν τῷ νόμῳ, καὶ πρὸς τούτῳ τῇ τῆς ἱερᾶς σου ψυχῆς ἡμερότητι καὶ διαθέσει, ἧς ἄνωθεν ἡμᾶς ἠξίωσεν ἡ σὴ θεοσέβεια, ὑπερβαίνω τοὺς ὅρους, καὶ τὴν ἀδοκήτως μοι συμβᾶσαν ἀθυμίαν μετ᾿ ἐκείνης, ἧς ἔφην παῤῥησίας, τὸν ἐμὸν διδάσκω δεσπότην. Ἤλγησα γὰρ ὄντως καὶ λίαν ἠθύμησα, ὅτι μοι τὴν ἐπιδημίαν τῆς σῆς ὁσιότητος, τὴν εἰς τοῦ Ἀρχαίου (1) φημί, οὐδεὶς κατεμήνυσεν, οὐδὲ ὁ θεοφιλέστατος Ἀέτιος ὁ πρεσβύτερος. Γράφομαι γὰρ αὐτὸν ἐπὶ τῆς σῆς ἁγιότητος ὡς ἠδικημένος τὰ μέγιστα. Ἤθελον γὰρ καὶ προμαθεῖν σου τὴν ἐπέραστον παρουσίαν, καὶ δραμεῖν ὡς ὑπόπτερος, καὶ τὴν Γίνδαρον (2) ὑπερβῆναι, καὶ ἧς ὤφειλον τιμῆς μοῖραν γοῦν βραχυτάτην ἐκτῖσαι, καὶ τὰς ὀλίγας ἐκείνας ἡμέρας συνδιατρῖψαι, καὶ πᾶσαν προσενεγκεῖν πατρικῆς φιλοστοργίας ἀνάγκην, καὶ πεῖσαι τοῖς ἱεροῖς σου ποσὶν ἁγιάσαι τὴν πόλιν τὴν ἡμετέραν. Νῦν δὲ τούτων ἁπάντων ἐστέρημαι. Ἡνίκα μὲν γὰρ παρεγένετό σου ἡ ὁσιότης οὐκ ἔγνων· τῇ δὲ τεσσαρεσκαιδεκάτῃ, τῶν καλλινίκων Μαρτύρων (3) ἐν Μηνίγγοις τὴν πανήγυριν ἐπιτελῶν ἤκουσα τοῦτο

(1) Τοπικὸν δοκεῖ τοὔνομα.

(2) Ἀκρόπολιν τῆς Κυῤῥηστικῆς καὶ ληστήριον εὐφυὲς ὀνομάζει ὁ Στράβων τὴν Γίνδαρον [Ιϛ΄, σελ. 751], ἐξ οὗ καὶ Στέφανος ὁ Βυζάντιος.

(3) Νοεῖ ἴσως τὸν Θύρσον, Λεύκιον καὶ Καλλίνικον, ὧν τὴν μνήμην γεραίρει ἡ Ἐκκλησία τῇ ιδ΄ Δεκεμβρίου.

3

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

θρυλούντων. Πυνθανόμενος δὲ καὶ τὸ ἀληθὲς ἐξετάζων εὗρον ἑτέρους λέγοντας ὡς ἐξεδήμησέ σου ἡ θεοσέβεια, δύο μόνον ἡμέρας ἐκεῖ διατρίψασα· καὶ μὴ δευτέροις πιστεύσας, εἰς δὲ τὸ Μασχαλᾶς ἀποστείλας, καὶ μαθὼν ἀληθεῖς ἀμφοτέρας, ἐκωλύθην τῆς ὁδοῦ. Ἤλγησα δὲ χαλεπῶς τὴν ψυχὴν καὶ ὅτι τὸ πατρῷον οὐκ ἐζήτησα γέρας, ἀλλὰ τῆς πνευματικῆς ἐστερήθην ὠφελείας, καὶ ὅτι τῇ τῶν θεραπευόντων σου τὴν ἁγιωσύνην συντέταγμαι μοίρᾳ· οὐ γὰρ ἐκείνοις ἐγκεκριμένος, ἄπυστος ἔμεινα τῆς σῆς, ὦ πάτερ, ἐπιδημίας. Ταῦτα ὡς υἱὸς ἀλγῶν, τὸν πάντων εἵνεκα σεβασμιώτατόν μοι πατέρα καὶ δεσπότην ἐδίδαξα, καὶ ἀπολογούμενος ὑπὲρ τῆς ἀγνοίας, καὶ ἀλγῶν διὰ τὴν ἄγνοιαν.

## ΜΒ΄.

### Ἑλλαδίῳ Κουράτωρι.

Ἐμοὶ τὴν ὑμετέραν μεγαλοτρέπειαν ἡ φήμη πεποίηκε γνώριμον· οὐχ ἁπλῶς δὲ ταύτην πεπίστευκα, ἀλλὰ ταύτης λεγούσης διὰ πάντων ἀκούσας, καὶ τοὺς αὐτῆς ὑφαινούσης ἐπαίνους, καὶ τὸν τῶν κατορθωμάτων διεξιούσης κατάλογον. Οὐδὲν γὰρ ἕτερον περὶ τῆς ὑμετέρας μεγαλοπρεπείας ἀκούειν ἐστίν, ἢ ὅσα ἔχειν εἰκὸς τὸν τῆς ἀρετῆς ἐραστήν. Εἷς δὲ τῶν ταῦτα διηγουμένων ὁ εὐλαβέστατος διάκονος Πάππος· αὐτὸς γὰρ ἡμᾶς καὶ βλάψαι παρώτρυνεν, οὐ σύμμετρον τῇ δυνάμει φήσας ὑμῖν εἶναι τὸ φρόνημα, ἀλλ' ἀνδρὶ σοφῷ τε καὶ συνετῷ, καὶ τὴν φύσιν ἐπεσκεμμένῳ, συμβαῖνον. Διὸ τεθάῤῥηκα τὴν ἐπιστολὴν (1), καὶ τὸ ὑμέτερον προσφθέγγομαι μέγεθος καὶ τὸν τῶν ὅλων ἱκετεύω Θεὸν καὶ τὰ παρόντα ὑμῖν ἀγαθὰ φυλάξαι, καὶ τὰ μείζω προσδοῦναι.

## ΜΓ΄.

### Εὐρυκιανῷ Τριβούνῳ. Παραμυθητική.

Καὶ τοῦ χειμῶνος οἶδα τὸ σκυθρωπόν, καὶ τοῦ κλύδωνος

(1) Ἐξέπεσεν ἴσως τὸ ἀπαιτούμενον ἀπαρέμφατον: *Γράψαι* ἤ τι ἄλλο τοιοῦτον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ἐπίσταμαι τὸ σφοδρόν, καὶ μόνιμον οὐδὲν οὐδὲ διαρκὲς ὁ παρὼν ἔχει [βί]ος· μόνης δὲ τῆς ἀρετῆς τὸ κάλλος ἀμάραντον. Καὶ ταῦτα μὲν τέως ὡς πρὸς ἀνθρώπους κοινῶς διαλέγομαι· καιρὸς δὲ λοιπὸν καὶ τῶν θείων ὑμᾶς ἀναμνῆσαι δογμάτων, καὶ εἰς τὰς μεγάλας ἐκείνας ἐλπίδας ἀπὸ τοῦ πάθους μεταγαγεῖν, καὶ τῆς μὲν ἀθυμίας ἀποσκεδάσαι τὸ νέφος, ὑποδεῖξαι δὲ ἐκεῖνα τῷ λόγῳ, ἃ μέχρι τοῦ παρόντος διὰ τῆς πίστεως ὁρᾶται. Λέλυται τοῦ θανάτου τὸ κράτος, καὶ ὕπνος ὁ φοβερὸς ἐκεῖνος γεγένηται θάνατος, καὶ ἀνάστασιν περιμένομεν ἅπαντες οἱ τῆς πίστεως τὴν ἀκτῖνα δεξάμενοι. Διὰ τοῦτο γὰρ καὶ ὁ δεσπότης ἡμῶν Χριστός, ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ὁ πρὸ αἰώνων ὑπάρχων, ὁ συναΐδιος τῷ γεννήσαντι, ὁ τῶν ἁπάντων ποιητὴς καὶ κοσμήτωρ καὶ κυβερνήτης, τὸ οἰκεῖον σῶμα, ὃ ἐξ ἡμῶν ὑπὲρ ἡμῶν ἀνέλαβε, θανάτῳ παρέδωκεν, οὐχ ἵνα νεκρὸν αὐτὸ καταλίπῃ, ἀλλ᾽ἐκεῖνο πρότερον ἀναστήσας, δι᾽ ἐκείνου τὰς τῆς ἀναστάσεως ἐλπίδας ἐν ἡμῖν ἐγκατασπείρῃ. Καὶ τοῦτο σαφῶς ἐκπαιδεύων αὐτὸς ὁ Κύριος ἔλεγεν (1): *Ὅτ᾽ἂν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν·* καὶ πάλιν (2): *Ἔρχεται ὥρα ὅτ᾽ἂν ἀκούσωσιν οἱ ἐν τοῖς μνημείοις τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ ἐξελεύσονται οἱ τὰ ἀγαθὰ πράξαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως.* Ταύτην τοῖς ἱεροῖς Ἀποστόλοις βεβαιῶν τὴν ἐλπίδα, τοῦ Λαζάρου τὸν θάνατον ὕπνον προσηγόρευσε, λέγων (3): *Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται.* Εἶτα, ἀγνοησάντων τὸ εἰρημένον καὶ εἰρηκότων: *Εἰ κεκοίμηται, σωθήσεται,* ἐπήγαγε: *Λάζαρος ἀπέθανεν.* Οὐ νοεῖτε, φησίν, ὃ λέγω· ὡς νοεῖτε λέγω· ὕπνον γὰρ τὸν θάνατον προσηγόρευσα. Καὶ ὁ μακάριος δὲ Παῦλος σαφέστερον ἡμῖν τῆς οἰκονομίας τὸν λόγον παραδιδούς, Κορινθίοις ἐπιστέλλων ἔλεγεν (4): *Εἰ μὲν Χριστὸς κηρύσσεται, ὅτι ἐκ νεκρῶν ἐγή-*

(1) Ἰωάν. ιϐ΄, 32.
(2) Ὁ αὐτ. ἑ, 28-9.
(3) Ὁ αὐτ. ιά, 11-4.
(4) Α΄. ιέ, 12-3, 20-2.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



*γερται, πῶς λέγουσί τινες ἐν ὑμῖν, ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; Εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται·* καὶ μετ᾽ ὀλίγα: *Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν· ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. Ἐπειδὴ γὰρ δι᾽ ἀνθρώπου ὁ θάνατος, καὶ δι᾽ ἀνθρώπου ἀνάστασις νεκρῶν. Καὶ ὥσπερ ἐπὶ τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται.* Καὶ Θεσσαλονικεῦσι μὲν εἰσηγούμενος οὕτω φησίν (1): *Οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων.* Καὶ οὐ λέγει τῶν τεθνεώτων, ἢ τετελευτηκότων· τῶν γὰρ πραγμάτων μεταβολὴν δεξαμένων, εἰκότως ἐναλλάττει (2) τὰ ὀνόματα: *Οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα.* Οὐ γὰρ ἐκβάλλει τὴν λύπην, οὐδὲ ἀπάθειαν νομοθετεῖ, οὐδὲ ἔξω τῶν ὅρων τῆς φύσεως γενέσθαι παρακελεύεται, ἀλλὰ τῇ πίστει τὴν λύπην μετρεῖ, μονονουχὶ λέγων, Οὐκ ἐπὶ τῶν αὐτῶν ἐλπίδων ὁδεύετε ὑμεῖς τε καὶ οἱ Ἕλληνες, καὶ οἱ Ἰουδαῖοι, καὶ τῶν αἱρετικῶν οἱ τὴν ἀνάστασιν φλυαρίαν νομίζοντες· οὐδὲ τὰς αὐτὰς ἀφορμὰς εἰς ψυχαγωγίαν ἔχετε. Οἱ μὲν γὰρ λύσιν τοῦ ζῴου τὸν θάνατον νομίζουσι, καὶ φθορὰν παντελῆ τὴν τελευτὴν ὑπολαμβάνουσιν· ὑμεῖς δὲ τοῖς τῆς πίστεως ὀφθαλμοῖς τὰ μέλλοντα προορῶντες, τὸν τῆς ψυχῆς καὶ τοῦ σώματος χωρισμὸν ἀποδημίαν ἡγεῖσθε· μετάθεσιν καὶ μετάβασιν εἶναι πιστεύετε· ὕπνον τοῦ εἰωθότος μακρότερον. Ταῦτα ἡμᾶς ἅπαντες ἐκπαιδεύουσι καὶ Ἀπόστολοι καὶ Προφῆται. Εἰς ταύτας ἐβαπτίσθημεν τὰς ἐλπίδας· καὶ αὐτὸ γὰρ τὸ σωτήριον βάπτισμα θανάτου τύπον ἔχει καὶ ἀναστάσεως. Διὸ καὶ ὁ μακάριος Παῦλος βοᾷ (3): *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπίσθημεν·* καὶ πάλιν: *Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα.* Τοιαύτας οὖν ἔχοντες

(1) Α΄, δ΄, 13.
(2) Τὸ χειρόγρ.: *Ἐναλάττει.*
(3) Ῥωμ. ϛ΄, 3—5.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ἐλπίδας, παρακαλῶ, μετρήσωμεν τῇ εὐσεβείᾳ τὴν ἀθυμίαν· ὑποδείξωμεν ἅπασι φιλοσοφίαν, ἣν ὑπὸ τῆς πίστεως ἐδιδάχθημεν· διδάξωμεν τοὺς ἀπιστίαν ἔτι νοσοῦντας ὅσων ἡμῖν ἀγαθῶν ἡ πίστις κἂν τῷ παρόντι βίῳ γεγένηται πρόξενος, φέρειν ἡμᾶς ἅπαντας γενναίως παρασκευάζουσα, καὶ τὸν θάνατον οὐ θάνατον ἀλλ' ἀποδημίαν εἶναι διδάσκουσα. Οὐχ ὁ γάμος ἡμῖν δέδωκε τὸ θυγάτριον, οὐδὲ ὁ γάμος γονέας εἰργάσατο, ἀλλ' ὁ ἡμέτερος ποιητὴς καὶ τοῦ γάμου νομοθέτης πατέρας πεποίηκεν· οὐχ ὡς ὄφλημα ἐκτίνων δίδωσιν ἡμῖν τοὺς παῖδας, ἀλλὰ φιλοτιμίᾳ κεχρημένος ἀναβλύζει τὰ ἀγαθὰ τοῖς ἀνθρώποις. Μὴ τοίνυν δυσχεράνωμεν, ὅτι ἔλαβεν ὅπερ ἔδωκεν· ἔδωκε γὰρ ὡς ἠθέλησε, καὶ τὰ οἰκεῖα ἔλαβεν, οὐ τὰ ἡμέτερα· καὶ λαβὼν οὐκ ἀπόλλυσιν, ἀλλ' ἀθάνατον ἡμῖν αὐτό, καὶ ἀπαθές, καὶ ἄτρεπτον ἀποδώσει ἐν τῇ τῆς ἀναστάσεως ἡμέρᾳ. Χάριν ὁμολογήσωμεν, ὅτι ἄμωμον ἔλαβεν, ἁμαρτημάτων ἐλεύθερον, κακίας ἀμύητον, πονηρίας ἀπείρατον. Ἀγαπῶμεν τὴν παῖδα; συνησθῶμεν αὐτῇ τῆς μεταβάσεως, ὅτι τὴν ἁλμυρὰν καὶ πικρὰν τοῦ βίου διεπέρασε θάλασσαν, καὶ εἰς τοὺς ἀκυμάντους καθωρμίσθη λιμένας, καὶ τοῦ σφοδροῦ τούτου καὶ χαλεποῦ κλύδωνος, οὗ νῦν ὑμεῖς ἐγεύσασθε, ὑπερτέρα γεγένηται. Νικήσωμεν λογισμῷ τῆς φύσεως τὰς ἀκίδας. Μαρτυρίου καιρὸν τὸν πειρασμὸν ὑπολάβωμεν. Ἀλγεῖν ἡ φύσις παρακελεύεται; ὁ λογισμὸς χάριν ὁμολογείτω, καὶ τοῖς ἐκείνου νεύμασιν ἀκολουθείτω. Κεντεῖ τῆς κόρης ἡ μνήμη; τὴν τοῦ πεποιηκότος ἀντιτάξωμεν μνήμην. Εἴπωμεν: *Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας* (2). Δέκα παίδων χορὸν κατὰ ταὐτὸν τῷ θανάτῳ παρέπεμψεν ὁ ταῦτα δεξάμενος, καὶ οὐδὲ καθ' ἕνα προὔπεμψεν εἰς τοὺς τάφους, οὐδὲ ἐπὶ χρόνον νενοσηκότας, ἵνα μελετηθὲν τῷ χρόνῳ τὸ πάθος ἀμβλυτέραν τὴν ὀδύνην ἐργάσηται, ἀλλ' ἐξαπίνης τὴν ἁπάντων ἤκουσε τελευτήν, καὶ τελευτὴν καινὴν καὶ παράδοξον. Ἑστιώμενοι γὰρ καὶ ἐπὶ στιβάδος

(2) Ἰώϐ. ά.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ἀνακείμενοι ἄρδην ἀπώλοντο, τῆς οἰκίας αὐτοῖς καταῤῥαγείσης. Τί τοῦ θεάματος ἐκείνου χαλεπώτερον ἐν βίῳ γεγένηται; ποία τραγῳδία τοιαύτας ἐδέξατο συμφοράς; Ἐνθυμήθητι γὰρ ὁπόσον πικρὸν καὶ ἐλεεινὸν χῶμα τὴν οἰκίαν γεγενημένην, εἶτα ὀρύττειν καὶ τὰ σώματα τῶν παίδων ἐρευνᾶν, καὶ εὑρίσκειν τὸν μὲν μετὰ τῆς κύλικος κείμενον, τὸν δὲ τὴν χεῖρα εἰς τὴν τράπεζαν ἐκτεταμένην ἔχοντα· καὶ τοῦ μὲν βλέπειν τοὺς ὀφθαλμοὺς ἐξορωρυγμένους, τοῦ δὲ τὰ σκέλη κατεαγότα, ἄλλου δὲ τὰς χεῖρας ἐκτετμημένας, ἑτέρου τὸν ἐγκέφαλον κατεῤῥηγμένον. Ταῦτα πάντα ὁρῶν ὁ γενναῖος ἐκεῖνος πατήρ, οὐδὲν ἐπαχθὲς ἐφθέγξατο, ἀλλὰ τὸν ποιητὴν ἀνυμνῶν διετέλεσε, καὶ χάριν ἐπὶ πᾶσιν ὁμολογῶν: *Ὁ Κύριος*, φησίν, *ἔδωκεν, ὁ Κύριος ἀφείλετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας*. Ἕνα υἱὸν ἔσχεν ὁ μακάριος Ἀβραὰμ ὁ πατριάρχης, καὶ τοῦτον ἐν γήρᾳ, καὶ μετὰ πολλὰς ἐπαγγελίας, πολλῶν ἐτῶν διελθόντων· ἀλλ' ἡνίκα ἔδει λοιπὸν νυμφίον ἰδεῖν, τηνικαῦτα αὐτῷ προσέταξεν ὁ τῶν ὅλων Θεὸς ἱερουργῆσαι τοῦτον καὶ θυσίαν προσενεγκεῖν (1). Καὶ οὐκ ἀντεῖπεν, οὐκ ἐδυσχέρανε τὴν αἴτησιν, ἀλλὰ χαίρων ἔδραμε, καὶ ἀπέκναιεν αὐτὸν τῆς ὁδοῦ τὸ μῆκος, καὶ αὐθωρὸν ἐβούλετο τὴν θυσίαν προσενεγκεῖν. Ἀμέλει τὸ τῆς θυσίας χωρίον καταλαβών, εὐθύς τε τὸν βωμὸν ἐδείματο καὶ τὰ ξύλα συνέθηκε· ἐπέδησε μὲν τὸν παῖδα, ἐξέτεινε δὲ κατὰ τοῦ φιλτάτου τὴν πατρικὴν δεξιάν. Καὶ λεγέτω μηδείς, ὅτι ὁ Θεὸς ἐκεῖ ἐκώλυσε τὴν σφαγήν, ἀλλὰ τοῦ Ἀβραὰμ τὴν προθυμίαν ἐξεταζέτω. Εἴποι δ' ἄν τις ἴσως, ὅτι ὁ Θεὸς ἐκεῖ προσέταξε, καὶ διὰ τοῦτο ὑπήκουσεν Ἀβραάμ. Ἀλλὰ καὶ ἐνταῦθα ὁ Θεὸς ἔλαβε. Τὶ γὰρ εἰ μὴ προσεῖπε, Δός μοι τὴν θυγατέρα τὴν μονογενῆ, ἣν ἠγάπησας; ἀλλ' ἴσμεν, ὅτι αὐτὸς ἔλαβεν· ἐν γὰρ τῇ χειρὶ αὐτοῦ ψυχὴ πάντων τῶν ζώντων. Καὶ ὁ μακάριος δὲ Δαυΐδ (2): *Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλείψουσιν· ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσω-*

(1) Γέν. κβ'.
(2) Ψαλμ. ργ', 29-30.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

πον τῆς γῆς. Πιστεύσωμεν τοιγαροῦν καὶ ἡμεῖς θυσίαν τῷ Θεῷ προςενηνοχέναι τὴν παῖδα· εἰ γὰρ οὕτως φιλοσοφήσομεν (1), καὶ τῶν ἀβραμιαίων ἀξιωθησόμεθα κόλπων, κἂν τῷ παρόντι βίῳ δώσει ἡμῖν ὁ Κύριος δῶρον ἕτερον ἀνθ' οὗ ἔλαβε. Καὶ γὰρ ἡ πολυθρύλητος Ἄννα (2) τὸν Σαμουὴλ δι' εὐχῆς γεννήσασα, εἶτα τῷ Θεῷ τοῦτον προςκομίσασα γέγονεν ἄλλων μήτηρ υἱῶν, κατὰ τὴν τοῦ ἱερέως εὐλογίαν. Γενναίως τοίνυν τὸ πάθος φέροντες, πολλῶν ἀγαθῶν τευξόμεθα· ἵλεών τε γὰρ τὸν Θεὸν ἕξομεν, καὶ κατὰ τὸν παρόντα βίον τῆς παρ' αὐτοῦ προμηθείας ἀπολαυσόμεθα, κἂν τῷ μέλλοντι τὰς ἀῤῥήτους ἐκείνας ἀντιδόσεις ἀποληψόμεθα, καὶ ἣν προεπέμψαμεν θυγατέρα, στεφηφοροῦσαν ὀψόμεθα, καὶ ἐν τῷ παρόντι βίῳ τὴν παρὰ πάντων εὔκλειαν καρπωσόμεθα, καὶ ἀρχέτυπον φιλοσοφίας τοῖς ὠφελεῖσθαι βουλομένοις ἐσόμεθα. Ταῦτα γράφω, ἐπειδή με ὁ τῆς ἑορτῆς καιρὸς ἐνταῦθα προςεδρεύειν παρεγγυᾷ. Ἦ (3) γὰρ ἂν ἔδραμον καὶ δι' οἰκείας φωνῆς ταύτην ὑμῖν τὴν παραψυχὴν προςενήνοχα· ἐπειδὴ δὲ ἡ τῶν πολλῶν χρεία τοῦτο ποιῆσαι κεκώλυκε, τὸν θεοφιλέστατον πρεσβύτερον Ἀγαπητὸν ἀνθ' ἡμῶν πρὸς τὴν ὑμετέραν ἀρετὴν ἀπεστείλαμεν.

## ΜΔ΄.

### Ἀξιᾳ Διακονῳ. Παραμυθητικη.

Καὶ τὸ θνητὸν τῆς φύσεως τῆς ἀνθρωπίνης ἐπίστασαι, καὶ τῆς ἀναστάσεως τὰς ἐλπίδας δεδίδαξαι. Ἱκανὰ δὲ τὰ ἀμφότερα τὴν ἐπὶ τοῖς τελευτῶσιν ἀθυμίαν ἀμβλῦναι· ἐὰν δὲ καὶ εὐκλεῶς τις ὑπεξέλθῃ τὸν βίον, παντελῶς προςήκει κατασβεσθῆναι τὴν λύπην. Διὰ πάντα τοίνυν παρακαλῶ σε γενναίως ὑπενεγκεῖν τῆς μακαρίας Σωςάννης τὴν τελευτήν. Διαφερόντως δὲ

(1) Τὸ χειρόγρ. : *Φιλοσοφήσωμεν*.
(2) Α΄ Βασιλ. α΄ ἐφ.
(3) Τὸ χειρόγρ. : *Ἤ*.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ψυχαγωγησάτωσάν σου τὴν εὐλάβειαν αἱ παρὰ πάντων εὐφημίαι, καὶ τῶν τὴν χώραν, καὶ τῶν τὴν πόλιν τὴν ἡμετέραν οἰκούντων. Ἅπαντες γὰρ αὐτῆς τὴν ἐπαινουμένην ᾄδουσι βιοτήν· καὶ ὁ μὲν αὐτῆς τὸ σῶφρον, ὁ δὲ τὸ φιλάνθρωπον, ὁ δὲ τὸ κηδεμονικὸν διηγεῖται. Τῶν δὲ παρὰ πάντων λεγομένων μάρτυς ἐγώ· μᾶλλον δέ, πλείονα λέγω πάντων ἐγώ, ὅσῳ καὶ πλείονα τῶν ἄλλων, ἐπειδὴ φροντίζω μαθεῖν. Χάριν τοίνυν ὁμολόγησον, ὦ φιλόχριστε, τῷ δεσπότῃ Χριστῷ, ὅτι πολλοῖς αὐτὴν ἀρετῆς εἴδεσι τελειώσας, εἰς τὸν ἄλυπον μετατέθεικε βίον, εὐφραινομένην, καὶ χαίρουσαν, καὶ τοῖς κλαίουσι χαλεπαίνουσαν. καὶ γυμνασίαν νόμισον εἶναι φιλοσοφίας τὸν τῆς θυγατρὸς χωρισμόν, καὶ πεῖσαι σαυτήν, ὡς εἰς μακροτέραν ἐξεδήμησε γῆν, ζῶσα τῷ Θεῷ, καὶ τῆς ἀρετῆς τὰς ἀντιδόσεις προσμένουσα.

## ΜΕ΄.

### Βασιλειῳ Επισκοπῳ Σελευκειας της Ισαυριας.

Λόγων πηγὰς ἐπὶ τῆς γλώττης, ὁσιώτατε, φέρων, διψῆν ἔφησθα, καὶ τῶν ἡμετέρων ψεκάδων ἐφίεσθαι, ὅμοιον ποιῶν ὥσπερ ἂν εἴ τις τὸν Αἰγύπτιον ποταμὸν λιβάδος εἴποι προσδεῖσθαι μικρᾶς. Ἐμοὶ δὲ καὶ ἡ βραχεῖα νοτὶς ὠφέλειαν φέρει πολλήν· ἡ δὲ σὴ θεοσέβεια κρουνοὺς τοῖς ἄλλοις προσφέρει. Ἐπαινῶ δὲ ὅμως τὴν καλὴν ἀπληστίαν· καρπὸν γὰρ ἔχει τὸν θεῖον μακαρισμόν (1): *Μακάριοι γὰρ οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην· ὅτι αὐτοὶ χορτασθήσονται.* Ὅσην μὲν τὴν θυμηθίαν ἐκ τῶν γραμμάτων ἐπορισάμην οὐ ῥᾴδιον διεξιέναι. Πρῶτον γὰρ τῆς σῆς μοι φιλοθείας ὑπεδείκνυ τοὺς χαρακτῆρας, καὶ τὸν τῆς φιλίας ὑφῆπτε πυρσόν· ἔπειτα τοῦ κεκομικότος ἡ συνουσία μείζονά μοι τὴν εὐφροσύνην εἰργάσατο. Ἱκανὸς γὰρ ὁ θεοσεβέστατος συμπρεσβύτερος Δομετιανὸς καὶ πᾶσαν ἀθυμίαν ἀποσκεδάσαι, καὶ θυμηδίαν ἀντ᾽ ἐκείνης ἐνθεῖναι· ἦθος μὲν γὰρ

(1) Ματθ. ε΄, 6.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἔχει γλυκύτερον μέλιτος, τῶν δὲ θείων λογίων ἐν ἑαυτῷ περιφέρει τὸν πλοῦτον, οὗ τῷ ἐλύτρῳ μόνῳ τῶν γραμμάτων καλλωπιζόμενος, ἀλλὰ καὶ τὸν ἐν τούτοις κεκρυμμένον μαργαρίτην ὑποδεικνύς. Κομιδῇ δὲ ἡμᾶς εὐφράνας ἠνίασεν, ὅσον ηὔφρανε καταλιπὼν ὅτι τάχιστα. Καὶ προςφθέγγομαι τοίνυν δι᾽ αὐτοῦ τὴν σὴν ἁγιότητα, καὶ τῆς τῶν εὐχῶν ἐπικουρίας ἀπολαῦσαι παρακαλῶ.

## ΜϚ΄.

### Αερίῳ Σοφιστῇ.

Εἰ μὲν ἠγνόεις, ὦ φίλη μοι κεφαλή, τὸν δεῖνα καὶ τὸν ἐκείνου τρόπον καὶ βίον, εἰκότως τὸν ἔλεον ἀνευφήμεις καὶ τῆς φιλανθρωπίας διεξῄεις ἐπαίνους· ἐπεὶ δὲ οἶσθα τίς ὁ ἀνήρ, καὶ ὅτι αὔξει μὲν ἐπὶ τὸ χεῖρον ἡ τῆς ἐκείνου γνώμης ῥοπή, παλινῳδίαν δὲ ᾄδειν οὐ βούλεται, παρὰ τοῦ σοῦ μάνθανε Πλάτωνος τίνος ἄξιος οὗτος. Εἰ δὲ λέγεις μὴ τοὺς ἐκείνου νόμους ἐπὶ τοῦ παρόντος κρατεῖν, ἄκουσον τοῦ δεσπότου τῶν ὅλων νομοθετοῦντος.

## ΜΖ΄.

### Απελλῇ (1).

Οὔτε τὴν ἀνθρωπείαν ἠγνόησα φύσιν, οὔτε δυσχεραίνω τὸν ἔλεον, οὗ μάλιστα δέομαι. Οἶδα καὶ φίλοις αἰτοῦσι παρέχειν, ἐπειδὴ κἀγὼ τούτου δεόμενος ἐθέλω λαβεῖν. Αἰτεῖσθαι δὲ καὶ αἰτεῖν τὰ μὴ πολλὴν ἐργαζόμενα βούλομαι λώβην. Εἰ δέ τι τοιοῦτον ἀγνοῶν τις αἰτήσοι, γυμνοῦν τὴν αἴτησιν ἀναγκάζομαι, καὶ πείθειν ὡς ἐγὼ ἤκουσα δυςπαθής. Λωβᾶται δὲ καὶ τῷ αἰτοῦντι καὶ τῷ διδόντι ἡ χάρις. Τοῦτο καὶ νῦν προὔργου δρᾶσαι νενόμικα, καὶ τὴν σὴν πεῖσαι μεγαλοπρέπειαν· καὶ πεῖσαι, τοῦ συνειδότος μαρτυροῦντος, ὡς οὐδεμίαν ἔχω πρὸς τὸν δεῖνα ἀν-

(1) Καὶ ἐν ταῖς ἐκδόσεσι φέρεται ἑτέρα πρὸς τοῦτον ἐπιστολή, ἡ ΡΙΕ΄,

Ακαδημία Αθηνών / Academy of Athens

Ακαδημία Αθηνών / Academy of Athens

θρωπίνην δυςμένειαν· ἀνιᾷ δέ με τοῖς θείοις παντελῶς ἀποταξάμενος νόμοις, καὶ ὄργανον τῆς ἐναντίας ἐνεργείας γενόμενος.

## ΜΗ΄.

### Ισοκασιῳ Σοφιστῃ.

Ἀληθὴς ἄρα ὁ τραγικός ἐστι λόγος (1) ὁ τὸν *ἄλυπον βίον* ἐπιζητῶν, καὶ παρ᾽ οὐδενὶ τοῦτον εὑρηκέναι βοῶν· ἀδοκήτοις γὰρ οἱ πλεῖστοι τῶν ἀνθρώπων περιπίπτουσι συμφοραῖς. Τοῦτο δὲ πέπονθε καὶ Θεοκλῆς ὁ εὐγενέστατος ἡμῶν υἱός. Ἀγροῦ μὲν γὰρ ἑνὸς αὐτὸν κύριον πεποίηκεν ὁ πατήρ· φέρει δὲ οὗτος οὐ μυῤῥίνας καὶ ἄνθη, κατὰ τὸν κωμικὸν ἐκεῖνον ἀγρόν (2), ἀλλὰ τὰς ὑπὲρ τῶν εἰςφορῶν παροινίας. Τοσοῦτον δὲ κληρονομήσας, εἰς τὴν δικαιοτάτην πραιτοῦραν (3) ἐκλήθη, καὶ μόγις οἷός τε ὢν τροφῆς τῆς ἀναγκαίας μεταλαχεῖν, τοσοῦτον ζημίας φορτίον ἠνάγκασται μεριμνᾶν· οὗ δὴ χάριν καὶ τὴν βασιλίδα καταλαβεῖν ἐπείγεται πόλιν. Δεῖται τοίνυν δι᾽ ἡμῶν τῆς ὑμετέρας μεγαλοπρεπείας, ὥστε μεθ᾽ ὑμετέρων ἐπιδημῆσαι γραμμάτων, καλῶς αὐτοῦ τὴν πενίαν καὶ σοφιστικῶς τραγῳδούντων. Μετὰ γὰρ τηλικαύτης μαρτυρίας εἰς τὸ δικαστήριον εἰςιὼν πείσει τοὺς δικάζοντας πάντας τῆς φιλανθρωπίας μόνης τὴν ψῆφον ἐξενεγκεῖν.

(1) Σοφοκλ. *Τραχιν.* 167.
(2) Ἀναφέρεσθαι ἡ χρῆσις δοκεῖ εἴς τι τῶν Ἀριστοφάνους ἀπολωλότων δραμάτων.
(3) Ἴδε ὄπισθεν τὴν ἐν σελ. 23 ὑποσημείωσιν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

## ΤΩΝ ΕΚΔΕΔΟΜΕΝΩΝ ΤΕΣΣΑΡΩΝ ΕΠΙΣΤΟΛΩΝ
## ΤΑ ΕΝ ΤΩ ΧΕΙΡΟΓΡΑΦΩ ΔΙΑΦΕΡΟΝΤΑ ΠΡΟΣ ΤΗΝ ΤΟΥ MIGNE ΕΚΔΟΣΙΝ.

### ΕΠΙΣΤΟΛΗ ΙΘ'.

Στ. 2 : ἔφησεν *εἶναι.*
« 3 : Κοσμεῖ *μὲν* γὰρ αὐτοῦ τὴν γλῶτταν.
« 6 : *προξενεῖ.*

### ΕΠΙΣΤΟΛΗ Κ'.

« 4 : οὐ *μετέλαχε.*
« 8 : ἡμέρας, *ὦ φίλη μοι κεφαλή,* ὄνησιν *ἐνταῦθα*
« 11 : τοῖς *ποθοῦσι.*
« « : *μικρολογία.*

### ΕΠΙΣΤΟΛΗ ΚΒ'.

« 8 : *γενόμενος.*
« 9 : *διατελεῖ.*

### ΕΠΙΣΤΟΛΗ ΚΓ'.

« 2 : ὁ τῶν ὅλων *Θεός,* οὐκ ἀδίκῳ.
« 4 : *οὕτω.*
« 8 : Λείπει τὸ : *τῆτες.*
« 13 : τὸν μὲν *σπόρον.*
« 15 : τῆς *πατρικῆς.*
« 16 : *τὸ ἔλεον* (1) *τὸ θεῖον,*
« 19 : *οἵαν . . . ταῦτα.*
« 20 : **ἀπολαύσεσθαι.**

(1) Ὁ οὐδέτερος οὗτος τύπος εὕρηται καὶ ἐν τοῖς Ἡρωδιανοῦ *Ἐπιμερισμοῖς* [σελ. 235, ἔκδ. Boisson.]· οἷον : *ἔλεον, ἡ ἐλεημοσύνη.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

## ΠΙΝΑΞ ΤΩΝ ΕΠΙΣΤΟΛΩΝ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ.


### Α

Ἀγάθωνι ἀρχιμανδρίτῃ . . . . . . . . . . . δ'.
Ἁγιανῷ μονάζοντι . . . . . . . . . . . λθ'.
Ἀδήλῳ . . . . . . . . . . . . . κθ'.
Ἀερίῳ σοφιστῇ . . . . . . . . . ζ', ι, κϐ', μϛ'.
Ἀνδρέᾳ ἐπισκόπῳ Σαμοσάτων . . . . . . . λζ'.
Ἀνεπίγραφος. . . . . . . . . . . . κζ'.
Ἀντιόχῳ ἀπὸ ὑπάρχων . . . . . . . . . λε'.
Ἀξίᾳ διακόνῳ . . . . . . . . . . . μδ'.
Ἀπελλῇ . . . . . . . . . . . . . μζ'.
Ἀρεοϐίνδῳ στρατηλάτῃ. . . . . . . . . . ιη'.
Ἀρχελάῳ ἐπισκόπῳ Σελευκείας. . . . . . . . . κϛ'

### Β

Βασιλείῳ ἐπισκόπῳ Ἰσαυρίας . . . . . . . . α'.
Βασιλείῳ ἐπισκόπῳ Σελευκείας τῆς Ἰσαυρίας. . . . . με'.

### Δ

Διονυσίῳ κόμητι Ἀνατολῆς . . . . . . . . ιζ'.
Δομετιανῷ κοιαίστωρι . . . . . . . . . λϛ'.

### Ε

Εἰρηναίῳ κόμητι . . . . . . . . . . . ιδ'.
Ἑλλαδίῳ κουράτωρι. . . . . . . . . . . μϐ'.
Εὐθαλίῳ πρεσϐυτέρῳ . . . . . . . . . . λη'.
Εὐλαλίῳ, Γερμανῷ, Πρωτεῖ πολιτευομένοις Ζεύγματος . . ή, θ'.
Εὐρυκιανῷ τριϐούνῳ . . . . . . . . . . μγ'.
Εὐσεϐίῳ ἐπισκόπῳ Ἀγκύρας . . . . . . . . ϐ'.
Εὐσεϐίῳ ἐπισκόπῳ [Νι]καί[ας;] . . . . . . . . κα'.

### Θ

Θεοδότῳ κόμητι. . . . . . . . . . . . γ'.
Θεοδότῳ ἐπισκόπῳ Ἀντιοχείας . . . . . . . κή, μα'.
Θεοδότῳ ἄρχοντι . . . . . . . . . . . λϐ'.


ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

Ι

Ἰσοκασίῳ σοφιστῇ . . . . . . . . .κγ΄,κδ΄,λδ΄,μ΄,μη΄.

Κ

Κύρῳ πρεσβυτέρῳ . . . . . . . . . . . . κε΄.
Κωνσταντίνῳ ἀπὸ ὑπάρχων . . . . . . . . . . ιθ΄.

Μ

Μαρανᾷ σχολαστικῷ . . . . . . . . . . . λ΄.

Ν

Νέωνι ἄρχοντι . . . . . . . . . . . . . λγ΄.
Νόμῳ ὑπάτῳ. . . . . . . . . . . . . . . ις΄.

Ο

Ὀλυμπίῳ Γερμανικῷ . . . . . . . . . . . ιγ΄.

Π

Παλλαδίῳ φιλοσόφῳ . . . . . . . . . . . ιβ΄.
Πρόκλῳ ἐπισκόπῳ Κωνσταντινουπόλεως . . . . . . ιέ,κ΄.

Ρ

Ῥωμύλῳ . . . . . . . . . . . . . . . λά.

Τ

Τίτῳ κόμητι. . . . . . . . . . . . . . ς΄, ια΄.

Φ

Φλωρεντίῳ ὑπάρχῳ . . . . . . . . . . . ε΄.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

# ΠΑΡΟΡΑΜΑΤΑ.

| | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|
| Σελ. | 7, | ἐπιστ. | η', | στίχ. | 6, | γράφε | : | κατέχωσι |
| » | 26, | » | λγ', | » | 5, | » | : | κεραννύντες ἡμερότητι, |
| » | 29, | » | | » | 1, | » | : | ΛϚ'. |
| » | » | » | λς', | » | 7, | » | : | ἐκείνοις |
| » | 30, | » | λη', | » | 7, | » | : | διδάσκαλος· |
| » | » | » | » | » | 8, | » | : | ἐπίδειξαι· |

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens